






Hesiodi Theogonia

ed.

Orelli.

Frederic D. Allen.

1891



INDEX LECTIONUM

IN

ACADEMIA TURICENSI

INDE

A DIE XXVI. MENSIS OCTOBRIS M.DCCC.XXXVI

USQUE

AD DIEM XX. MENSIS MARTII M.DCCC.XXXVII

HABENDARUM.

INEST

HESIODI THEOGONIA CUM VARIETATE EDD. ALDINÆ, IUNTINÆ PRIMÆ ET TRINCAVELLIANÆ IN USUM LECTIONUM

RECOGNITA AB

Io. Casp. Orellio.

TURICI

EX OFFICINA ULRICHIANA

M. DCCC. XXXVI.

Cum auditoribus meis Hesiodi Theogoniam interpretari statuissem, mirificum hoc poëma consultis Goettlingio, Hermanno, Muetzellio denuo eam ad formam emendare decrevi, qua per scholas uterer.

Criticis, ad quos academicus hic libelleus perveniet, id ipsum pro certo non displicebit, quod quam accuratissime potui varietatem lectionis Aldinae, Iuntinae primae, Trincavellianae, Goettlingianae subdidi: id unum consulto praeterii, ubi ν tφελκυστικὸν in versuum fine non habent. Est autem a = Aldina, i = Iuntina, ἐ = Trincavelliana, g = Goettlingiana, M = Muetzell, m = Gaisfordii Poetae minores, cuius interdum lectiones memoravi.

ΗΣΙΟΔΟΥ

ΤΟΥ ΑΣΚΡΑΙΟΥ ΘΕΟΓΟΝΙΑ.

Μουσάων Ἑλικωνιάδων ἀρχώμεθ' ἀείδειν,
αἵθ' Ἑλικῶνος ἔχουσιν ὄρος μέγα τε ζάθεόν τε,
καί τε περὶ κρήνην ἰοειδέα πόσσ' ἀπαλοῖσιν
ὀρχεῦνται καὶ βωμὸν ἐρισθενέος Κρονίωνος·
καί τε λοεσσάμεναι τέρενα χρόα Περμησσοῖο
ἢ Ἵππου κρήνης ἢ Ὀλμειοῦ ζαθέοιο,
ἀκροτάτῳ Ἑλικῶνι χοροὺς ἐνεποιήσαντο
καλούς, ἱμερόεντας· ἐπεῤῥώσαντο δὲ ποσσίν.
ἔνθεν ἀπορνύμεναι, κεκαλυμμέναι ἠέρι πολλῇ,
ἐννύχιαι στεῖχον περικαλλέα ὄσσαν ἱεῖσαι,
ὑμνεῦσαι Δία τ' αἰγίοχον καὶ πότνιαν Ἥρην
Ἀργείην, χρυσέοισι πεδίλοις ἐμβεβαυῖαν,
κούρην τ' αἰγιόχοιο Διὸς γλαυκῶπιν Ἀθήνην
Φοῖβόν τ' Ἀπόλλωνα καὶ Ἄρτεμιν ἰοχέαιραν
ἠδὲ Ποσειδάω γαιήοχον, ἐννοσίγαιον,
καὶ Θέμιν αἰδοίην ἑλικοβλέφαρόν τ' Ἀφροδίτην
Ἥβην τε χρυσοστέφανον καλήν τε Διώνην
Ἠῶ τ' Ἠέλιόν τε μέγαν λαμπράν τε Σελήνην
Λητώ τ' Ἰαπετόν τε ἰδὲ Κρόνον ἀγκυλομήτην

---

§. a = Ald. — i = Iuntina prima. — t = Trincav. — m = Gaisfordii Poëtae min. — g = Goettling. — M. = Muetzell. — 4. *λούσαντο* Etym. M. p. 604, 4. 5. Scholiastae ap. M. p. 370. *χρόα καλόν* et *ἁπαλὸν χρόα*. *Τερμησσοῖο* ai. *Τερμησσοῖο* g. *Περμησσοῖο* t. 6. *Ἱππουκρήνης* m. *Ὀλμειοῦ* a. (non it.) 7. *ἑλικώνῃ* i. 8. *ποσίν* i. 9. *πολλῷ* ai. 10. *στοῖχον περικαλέα* i. 11. *αἰγίοχόν τε καὶ* i. 15. *Ποσειδάονα* ai. *Ποσηδάονα* t. *Ποσειδάωνα* m. *Ποσειδέωνα* M. p. 227. (*Ποσειδάω* g. prob. Hermanno.) 18. 19. inverso ordine: *Λητώ τ' - - Ἠῶ τ'* it. (non a.) M. p. 372. 18. *λαμπρήν τε* g.

Γαῖάν τ' Ὠκεανόν τε μέγαν καὶ Νύκτα μέλαιναν,
ἄλλων τ' ἀθανάτων ἱερὸν γένος αἰὲν ἐόντων·
αἵ νύ ποθ' Ἡσίοδον καλὴν ἐδίδαξαν ἀοιδὴν
ἄρνας ποιμαίνονθ' Ἑλικῶνος ὕπο ζαθέοιο.
τόνδε δέ με πρώτιστα θεαὶ πρὸς μῦθον ἔειπαν,
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο·
Ποιμένες ἄγραυλοι, κάκ' ἐλέγχεα, γαστέρες οἶον,
ἴδμεν ψεύδεα πολλὰ λέγειν ἐτύμοισιν ὁμοῖα·
ἴδμεν δ', εὖτ' ἐθέλωμεν, ἀληθέα μυθήσασθαι.
Ὣς ἔφασαν κοῦραι μεγάλου Διὸς ἀρτιέπειαι,
καί μοι σκῆπτρον ἔδον δάφνης ἐριθηλέος ὄζον
δρέψασθαι θηητόν· ἐνέπνευσαν δέ μοι αὐδὴν
θείην, ὡς κλείοιμι τά τ' ἐσσόμενα πρό τ' ἐόντα,
καί με κέλονθ' ὑμνεῖν μακάρων γένος αἰὲν ἐόντων,
σφᾶς δ' αὐτὰς πρῶτόν τε καὶ ὕστερον αἰὲν ἀείδειν.
ἀλλὰ τίη μοι ταῦτα περὶ δρῦν ἢ περὶ πέτρην;
Τύνη, Μουσάων ἀρχώμεθα, ταὶ Διῒ πατρὶ
ὑμνεῦσαι τέρπουσι μέγαν νόον ἐντὸς Ὀλύμπου,
εἰρεῦσαι τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα,
φωνῇ ὁμηρεῦσαι· τῶν δ' ἀκάματος ῥέει αὐδὴ
ἐκ στομάτων ἡδεῖα· γελᾷ δέ τε δώματα πατρὸς
Ζηνὸς ἐριγδούποιο θεᾶν ὀπὶ λειριοέσσῃ
σκιδναμένῃ· ἠχεῖ δὲ κάρη νιφόεντος Ὀλύμπου,
δώματα ἀθανάτων. αἱ δ' ἄμβροτον ὄσσαν ἱεῖσαι
θεῶν γένος αἰδοῖον πρῶτον κλείουσιν ἀοιδῇ
ἐξ ἀρχῆς, οὓς Γαῖα καὶ Οὐρανὸς εὐρὺς ἔτικτεν,
οἵ τ' ἐκ τῶν ἐγένοντο θεοί, δωτῆρες ἐάων.
δεύτερον αὖτε Ζῆνα, θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν,
ἀρχόμεναί θ' ὑμνεῦσι θεαὶ λήγουσί τ' ἀοιδῆς,

---

21. *ἄλλον* t. 24. *Τόν τε* a. *ἔειπον* aim. (non t.) 26. *ποιμέναις* i. *οἶον* it. (non a.) M. p. 373. 27. *ἑτοίμοισιν* i. 28. *εὖ τ' ἐθ.* ai. *εὖτ' ἂν ἐθ.* t. *γρ. γηρύσασθαι* Schol. M. p. 374. 29. *Διὸς μεγάλου* t. 30. *ἔδων* a. (non it.) *θείητον* ai. *θνητὸν* t. 31. *δρέψασαι* Iortin. Paris. Gaisfordii. M. p. 138. 376. 32. *θείην ἵνα κλείοιμι* ai. *θείην ὥστε κλύοιμι* t. Emendavit Steph. *θεσπεσίην κλείειν ἅμα τ'* M. p. 378. 33. *μ' ἐκέλονθ'* t. 34. *ὕστατον* Wolf coni. *ἀοίδειν* a. 35. *τίημι* i. 36. *τήνη* i. 37. *αἰὲν Ὀλ.* t. 41. *θεῶν* t. 42. *χάρη* t. 43. *δώματ' ἀθ.* ait. *δώματά τ' ἀθ.* g. 44. *αἰδοῖον*] atm. *αἰδοίων* ig. 45. *γαιά τε καὶ οὐρ.* i. *ἔτικτον* m. (non aitg. M. p. 24.) 46. *δοτῆρες* ait. 47. *πατέρα* a. (non it.) 48. *λήγουσαι* tg. M. p. 36. *ἀοιδοῖς* a.

ὅσσον φέρτατός ἐστι θεῶν κράτεΐ τε μέγιστος.
αὖτις δ' ἀνθρώπων τε γένος κρατερῶν τε Γιγάντων
ὑμνεῦσαι τέρπουσι Διὸς νόον ἐντὸς Ὀλύμπου
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο·
τὰς ἐν Πιερίῃ Κρονίδῃ τέκε πατρὶ μιγεῖσα
Μνημοσύνη, γουνοῖσιν Ἐλευθῆρος μεδέουσα,
λησμοσύνην τε κακῶν ἄμπαυμά τε μερμηράων.
ἐννέα γάρ οἱ νύκτας ἐμίσγετο μητίετα Ζεὺς
νόσφιν ἀπ' ἀθανάτων ἱερὸν λέχος εἰσαναβαίνων·
ἀλλ' ὅτε δή ῥ' ἐνιαυτὸς ἔην, περὶ δ' ἔτραπον ὧραι
μηνῶν φθινόντων, περὶ δ' ἤματα πόλλ' ἐτελέσθη,
ἡ δ' ἔτεκ' ἐννέα κούρας ὁμόφρονας, ᾗσιν ἀοιδὴ
μέμβλεται ἐν στήθεσσιν ἀκηδέα θυμὸν ἐχούσαις,
τυτθὸν ἀπ' ἀκροτάτης κορυφῆς νιφόεντος Ὀλύμπου,
ἔνθα σφὶ λιπαροί τε χοροὶ καὶ δώματα καλά·
πὰρ δ' αὐτῇς Χαριτές τε καὶ Ἵμερος οἰκί' ἔχουσιν,
ἐν θαλίῃς· ἐρατὴν δὲ διὰ στόμα ὄσσαν ἱεῖσαι,
μέλπονται πάντων τε νόμους καὶ ἤθεα κεδνὰ
ἀθανάτων κλείουσιν, ἐπήρατον ὄσσαν ἱεῖσαι.
αἳ τότ' ἴσαν πρὸς Ὄλυμπον ἀγαλλόμεναι ὀπὶ καλῇ,
ἀμβροσίῃ μολπῇ· περὶ δ' ἴαχε γαῖα μέλαινα
ὑμνεύσαις, ἐρατὸς δὲ ποδῶν ὕπο δοῦπος ὀρώρει,
νισσομένων πατέρ' εἰς ὅν· ὁ δ' οὐρανῷ ἐμβασιλεύει,
αὐτὸς ἔχων βροντὴν ἠδ' αἰθαλόεντα κεραυνόν,
κάρτεϊ νικήσας πατέρα Κρόνον· εὖ δὲ ἕκαστα
ἀθανάτοις διέταξεν ὁμῶς καὶ πέφραδε τιμάς.
Ταῦτ' ἄρα Μοῦσαι ἄειδον Ὀλύμπια δώματ' ἔχουσαι,
ἐννέα θυγατέρες μεγάλου Διὸς ἐκγεγαυῖαι,
Κλειώ τ' Εὐτέρπη τε Θάλειά τε Μελπομένη τε
Τερψιχόρη τ' Ἐρατώ τε Πολύμνιά τ' Οὐρανίη τε

---

49. *Τόσσον* a. *φέρτερος* i. (non at.) 50. *αὖθις* am. (non it.) 55. *λησμοσύνη* Cod. Medic. M. p. 201. *μεμηράων* i. 56. *μητιέτα* ai. (non t.) 58. *δή ῥ' ἔην ἐνιαυτὸς* i. (non at.) 59. *ἐτελέσθην* a. 60. *ἔτεκε* i. 61. *μέλλεται* ai. *μέμηλέ τ' ἐν* t. 63. *ἔνθα σφὶ*] Cod. Bodl. M. p. 227. *ἔνθα σφιν* aitg. 64. *Χάριτες καὶ* ait. 65. *στόματ'* g. 66. *νομοὺς* t. 67. *κλείουσαι* Taur. prob. Herm. Cfr. M. p. 242. 68. *ὀπῇ* i. 69. *δι' ἄχε* i. *δ' οἴαχε* t. 70. *ὑπὸ* ait. 71. *νυσσομένων* t. *νεισσομένων* m. *οὐρανὸν* i. (non at.) *ἐμβασιλεύεν* (sic) a. 72. *βρόντην* t. 74. *ἀθανάτοις* i. *πέφραδε*] Theophilus. M. p. 383. *ἐπέφραδε* aitg. 78. *Οὐρανία* a.

Καλλιόπη θ'· ἣ δὲ προφερεστάτη ἐστὶν ἁπασέων.
ἣ γὰρ καὶ βασιλεῦσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ,
ὅντινα τιμήσουσι Διὸς κοῦραι μεγάλοιο,
γεινόμενόν τ' ἐσίδωσι διοτρεφέων βασιλήων,
τῷ μὲν ἐπὶ γλώσσῃ γλυκερὴν χείουσιν ἀοιδὴν,
τοῦ δ' ἔπε' ἐκ στόματος ῥεῖ μείλιχα· οἱ δέ νυ λαοὶ
πάντες ἐς αὐτὸν ὁρῶσι διακρίνοντα θέμιστας
ἰθείῃσι δίκῃσιν· ὁ δ' ἀσφαλέως ἀγορεύων
αἶψά τε καὶ μέγα νεῖκος ἐπισταμένως κατέπαυσεν·
τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες, οὕνεκα λαοῖς
βλαπτομένοις ἀγορῆφι μετάτροπα ἔργα τελεῦσιν
ῥηϊδίως, μαλακοῖσι παραιφάμενοι ἐπέεσσιν.
ἐρχόμενον δ' ἀνὰ ἄστυ θεὸν ὣς ἱλάσκονται
αἰδοῖ μειλιχίῃ, μετὰ δὲ πρέπει ἀγρομένοισιν·
οἵά τε Μουσάων ἱερὴ δόσις ἀνθρώποισιν·
ἐκ γὰρ Μουσάων καὶ ἑκηβόλου Ἀπόλλωνος
ἄνδρες ἀοιδοὶ ἔασιν ἐπὶ χθόνα καὶ κιθαρισταί·
ἐκ δὲ Διὸς βασιλῆες. ὁ δ' ὄλβιος, ὅντινα Μοῦσαι
φίλωνται· γλυκερή οἱ ἀπὸ στόματος ῥέει αὐδή.
εἰ γάρ τις καὶ πένθος ἔχων νεοκηδέϊ θυμῷ
ἄζηται κραδίην ἀκαχήμενος, αὐτὰρ ἀοιδὸς
Μουσάων θεράπων κλεῖα προτέρων ἀνθρώπων
ὑμνήσῃ μάκαράς τε θεοὺς, οἳ Ὄλυμπον ἔχουσιν·
αἶψ' ὅγε δυσφρονέων ἐπιλήθεται, οὐδέ τι κηδέων
μέμνηται, ταχέως δὲ παρέτραπε δῶρα θεάων.
Χαίρετε τέκνα Διὸς, δότε δ' ἱμερόεσσαν ἀοιδήν·
κλείετε δ' ἀθανάτων ἱερὸν γένος αἰὲν ἐόντων,
οἳ γῆς ἐξεγένοντο καὶ οὐρανοῦ ἀστερόεντος,

---

79. *ἥδε* at. *ἥ σφεων* Diod. Sic. 4, 7. *ἁπασάων* at. (non i.) 81. *τιμήσωσι* Themistius. g. M. p. 386. *κεῖραι* i. 82. *γεινόμενόν τε ἴδωσι* Stobaeus. *γινόμενον τ' ἐσιδ.* i. 83. *χ. ἀοιδὴν*] ait. (*προχέουσιν ἀοιδήν* Stobaeus. M. p. 387.) *ἐέρσην* Themistius et Schol. g. 84. *ἔπ' ἐκ* ait. *ἔπη* Stobaeus. 85. *πάντε* a. 86. *ὅδ'* t. *ἀτρεκέως* Aristides. 87. *κατάπαυσε* t. 88. *λαοῖσι* at. (non i.) 89. *ἀγορῆφι* atm. (non i.) 90. *παραφάμενοι* ait. 91. *Ἐρχομενόν* g. *γρ. ἀν' ἀγῶνα* Schol. M. p. 388. *θεόν θ' ὡς* t. *εἰσορόωσιν* Plutarch. 93. *οἷα τε* a. (non i.) *οἱά τοι* t. *τοίη* m. M. p. 84. 94. *ἐκ γάρ τοι Μουσάων* i. *ἐκ γάρ τοι Μουσέων* Boissonade. 95. *ἔασσιν* ait. *ἐπὶ χθονί* Scholiastae apud M. p. 389. 96. *ὅδ'* t. 97. *φιλεῦνται* aitmg. (*φίλωνται* Herm. ex Stobaeo et al. *φιλῶνται.*) *ῥέεν* Bodl. Paull. 99. *ἀκαχημένος* at. *ἀκεχήμενος* i. 101. *ὑμνήσει* i. 106. *οἱ* at. (non i.)

νυκτός τε δνοφερῆς, οὕς ϑ' ἁλμυρὸς ἔτρεφε πόντος.
εἴπατε δ', ὡς ταπρῶτα ϑεοὶ καὶ γαῖα γένοντο
καὶ ποταμοὶ καὶ πόντος ἀπείριτος, οἴδματι ϑύων,
ἄστρα τε λαμπετόωντα καὶ οὐρανὸς εὐρὺς ὕπερϑεν,
οἵ τ' ἐκ τῶν ἐγένοντο ϑεοὶ, δωτῆρες ἐάων·
ὥς τ' ἄφενος δάσσαντο καὶ ὡς τιμὰς διέλοντο,
ἠδὲ καὶ ὡς ταπρῶτα πολύπτυχον ἔσχον Ὄλυμπον.
ταῦτά μοι ἔσπετε Μοῦσαι Ὀλύμπια δώματ' ἔχουσαι
ἐξ ἀρχῆς, καὶ εἴπαϑ' ὅ τι πρῶτον γένετ' αὐτῶν.
Ἤτοι μὲν πρώτιστα Χάος γένετ', αὐτὰρ ἔπειτα
Γαῖ' εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεὶ
[ἀϑανάτων, οἳ ἔχουσι κάρη νιφόεντος Ὀλύμπου,]
Τάρταρά τ' ἠερόεντα μυχῷ χϑονὸς εὐρυοδείης,
ἠδ' Ἔρος, ὃς κάλλιστος ἐν ἀϑανάτοισι ϑεοῖσιν,
λυσιμελὴς πάντων τε ϑεῶν πάντων τ' ἀνϑρώπων
δάμναται ἐν στήϑεσσι νόον καὶ ἐπίφρονα βουλήν.
Ἐκ Χάεος δ' Ἔρεβός τε μέλαινά τε Νὺξ ἐγένοντο·
Νυκτὸς δ' αὖτ' Αἰϑήρ τε καὶ Ἡμέρη ἐξεγένοντο,
οὓς τέκε κυσαμένη, Ἐρέβει φιλότητι μιγεῖσα.
Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ
Οὐρανὸν ἀστερόενϑ', ἵνα μιν περὶ πάντα καλύπτοι,
ὄφρ' εἴη μακάρεσσι ϑεοῖς ἕδος ἀσφαλὲς αἰεί.
γείνατο δ' οὔρεα μακρὰ, ϑεῶν χαρίεντας ἐναύλους
Νυμφέων, αἳ ναίουσιν ἀν' οὔρεα βησσήεντα,
ἠδὲ καὶ ἀτρύγετον πέλαγος τέκεν, οἴδματι ϑῦον,
Πόντον, ἄτερ φιλότητος ἐφιμέρου· αὐτὰρ ἔπειτα
Οὐρανῷ εὐνηϑεῖσα τέκ' Ὠκεανὸν βαϑυδίνην,
Κοῖόν τε Κρῖόν ϑ' Ὑπερίονά τ' Ἰαπετόν τε
Θεῖαν τε Ῥεῖαν τε Θέμιν τε Μνημοσύνην τε

---

107. *νυκτὸς δὲ* at. (non i.) *οὗς δ'* i. 108. *εἴπατε ϑ' ὡς* (sic) i. 109. *οἴδματα* i. (non at.) 111. *δοτῆρες* i. 113. *ὧς* a. 115. *εἴποϑ'* a. 116. *Πάντων μὲν* Aristoteles. M. p. 395· 118. „*Ἀϑετεῖται.*" Schol. *οἱ* ai. 119. *μυχῶν* t. *εὐρειοδείης* i. 120. *ὃς πάντεσσι μεταπρέπει ἀϑανάτοισιν* Aristoteles. M. p. 402. 121. *λυσιμελὴς πάντων - - ἀνϑρώπων*, *δάμναται* distinguunt alii. 122. *δαμνᾷ τ' ἐν* Hermann. ut Odyss. λ, 221. Sed cfr. Odyss. ξ, 488. *ἐχέφρονα* Cornutus. M. p. 403. 123. *νὺξ ἐξεγένοντο* at. (non i.) 125. *κϊσσαμένη* (sic) a. *κυσσαμένη* i. *οὗς κε κισσ.* (sic) t. 126. *ἶσον ἁπάντη* M. p. 406. 130. *Νυμφάων* ai. *αἱ* a. *ἄντ' οὗρεα* a. (non it.) 131. *ἡ δὲ* aimg. (non t.) 134. *Κρεῖον* aitm. M. p. 189. 135. *Θείαν τε Ῥεῖάν τε* t. *Θείην τε Ῥεῖάν τε* g. M. p. 137.

Φοίβην τε χρυσοστέφανον Τηθύν τ' ἐρατεινήν.
τοὺς δὲ μέθ' ὁπλότατος γένετο Κρόνος ἀγκυλομήτης.
δεινότατος παίδων· θαλερὸν δ' ἤχθηρε τοκῆα.
γείνατο δ' αὖ Κύκλωπας ὑπέρβιον ἦτορ ἔχοντας,
Βρόντην τε Στερόπην τε καὶ Ἄργην ὀβριμόθυμον,
οἳ Ζηνὶ βροντήν τ' ἔδοσαν τεῦξάν τε κεραυνόν·
οἱ δ' ἤτοι τὰ μὲν ἄλλα θεοῖς ἐναλίγκιοι ἦσαν·
μοῦνος δ' ὀφθαλμὸς μέσσῳ ἐπέκειτο μετώπῳ·
[Κύκλωπες δ' ὄνομ' ἦσαν ἐπώνυμον, οὕνεκ' ἄρα σφέων
κυκλοτερὴς ὀφθαλμὸς ἕεις ἐνέκειτο μετώπῳ.]
ἰσχύς τ' ἠδὲ βίη καὶ μηχαναὶ ἦσαν ἐπ' ἔργοις.
ἄλλοι δ' αὖ Γαίης τε καὶ Οὐρανοῦ ἐξεγένοντο,
τρεῖς παῖδες μεγάλοι τε καὶ ὄβριμοι, οὐκ ὀνομαστοί,
Κόττος τ' Ὀβριάρεώς τε Γύγης θ' ὑπερήφανα τέκνα.
τῶν ἑκατὸν μὲν χεῖρες ἀπ' ὤμων ἀΐσσοντο
ἄπλαστοι, κεφαλαὶ δὲ ἑκάστῳ πεντήκοντα
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν·
ἰσχύς τ' ἄπλητος κρατερὴ μεγάλῳ ἐπὶ εἴδει.
Ὅσσοι γὰρ Γαίης τε καὶ Οὐρανοῦ ἐξεγένοντο,
δεινότατοι παίδων, σφετέρῳ δ' ἤχθοντο τοκῆϊ
ἐξ ἀρχῆς. καὶ τῶν μὲν ὅπως τις πρῶτα γένοιτο,
πάντας ἀποκρύπτασκε καὶ ἐς φάος οὐκ ἀνίεσκε
Γαίης ἐν κευθμῶνι, κακῷ δ' ἐπετέρπετο ἔργῳ
Οὐρανός. ἡ δ' ἐντὸς στεναχίζετο Γαῖα πελώρη
στεινομένη· δολίην δὲ κακὴν ἐπεφράσσατο τέχνην.

---

137. ὀπλότητος i. 139. ὕβριν ἐχ. Par. 2. 140. Βρόντην τ' Ἀστερόπην t. ὀμβριμόθυμον ig. 142. οἵ ait. δήτοι aitm. 143. μέσσῳ ἐνέκειτο ig. μέσῳ αἰέκειτο (sic) t. Ante v. 144. Goettling. inseruit ex Cratetis recensione v.: οἵδ' ἐξ ἀθανάτων θνητοὶ τράφεν αὐδήεντες. 144. κύκλοπες (sic) δ' οὔνομ' ἔσαν t. ἐπώνυμοι Eclogae in Crameri Anecdd. 2. p. 457. 145. ἕειν a. ἕης t. (non i.) ὀφθαλμὸς ἕεις ἐπέκειτο μετώπῳ Theognostus in Crameri Anecdd. 2. p. 134. ἕεις (sic) ἐνέκειτο Eclogae l. l. ἕεις ἐνέκειτο Hom. Epimer. Ibid. I. p. 254. ἐνέκειτο etiam ait. M. p. 194. 272. 411. 148. μεγάλοι τε καὶ] Herm. Cfr. v. 64. μεγάλοι καὶ aitmg. ὀμβριμοι itg. 149. Γύης ig. M. p. 205. τ' Ὀβριάρεώς τε] Herm. p. 185. τε Βριάρεως τε aitg. 150. ἐπ' ὤμων i. ἀΐσσαντο a. 151. ἄπλατοι t. ἄπλητοι Herm. Cfr. M. p. 54. 153. ἰσχύς τ'] Medic. i. ἰσχὺς δ' ag. ἰσχὺς ἀπλ. t. ἄπλατος at. (non ig.) ἄπλαστος Paris. 1. 154. Τόσσοι M. p. 95. 415. 157. ἀνίησκε ait. 158. ἐπιτέρπετο i. (non at.) 159. ἢ δ' at. ἠδ' i. στεναχίζετο] i. στοναχίζετο atg. 160. ἀχνυμένη Seleucus. M. p. 416. ἐπεφράσατο t. ἐφράσσατο Goettlingii suspicio.

αἶψα δὲ ποιήσασα γένος πολιοῦ ἀδάμαντος
τεῦξε μέγα δρέπανον καὶ ἐπέφραδε παισὶ φίλοισιν·
εἶπε δὲ θαρσύνουσα, φίλον τετιημένη ἦτορ·
Παῖδες ἐμοὶ καὶ πατρὸς ἀτασθάλου, αἴ κ' ἐθέλητε
πείθεσθαι, πατρός κε κακὴν τισαίμεθα λώβην
ὑμετέρου· πρότερος γὰρ ἀεικέα μήσατο ἔργα.
Ὣς φάτο· τοὺς δ' ἄρα πάντας ἕλεν δέος, οὐδέ τις αὐτῶν
φθέγξατο· θαρσήσας δὲ μέγας Κρόνος ἀγκυλομήτης
ἂψ αὖτις μύθοισι προσηύδα μητέρα κεδνήν·
Μῆτερ, ἐγώ κεν τοῦτό γ' ὑποσχόμενος τελέσαιμι
ἔργον, ἐπεὶ πατρός γε δυσωνύμου οὐκ ἀλεγίζω
ἡμετέρου· πρότερος γὰρ ἀεικέα μήσατο ἔργα.
Ὣς φάτο· γήθησεν δὲ μέγα φρεσὶ Γαῖα πελώρη,
εἶσε δέ μιν κρύψασα λόχῳ· ἐνέθηκε δὲ χειρὶ
ἅρπην καρχαρόδοντα· δόλον δ' ὑπεθήκατο πάντα.
ἦλθε δὲ Νύκτ' ἐπάγων μέγας Οὐρανὸς, ἀμφὶ δὲ Γαίῃ
ἱμείρων φιλότητος ἐπέσχετο καί ῥ' ἐτανύσθη
πάντῃ· ὁ δ' ἐκ λοχεοῖο πάϊς ὠρέξατο χειρὶ
σκαιῇ, δεξιτερῇ δὲ πελώριον ἔλλαβεν ἅρπην,
μακρὴν, καρχαρόδοντα, φίλου δ' ἀπὸ μήδεα πατρὸς
ἐσσυμένως ἤμησε, πάλιν δ' ἔρριψε φέρεσθαι
ἐξοπίσω. τὰ μὲν οὔτι ἐτώσια ἔκφυγε χειρός·
ὅσσαι γὰρ ῥαθάμιγγες ἀπέσσυθεν αἱματόεσσαι,
πάσας ἐδέξατο Γαῖα· περιπλομένων δ' ἐνιαυτῶν,
γείνατ' Ἐρινῦς τε κρατερὰς μεγάλους τε Γίγαντας,
τεύχεσι λαμπομένους, δολίχ' ἔγχεα χερσὶν ἔχοντας,
Νύμφας θ', ἃς Μελίας καλέουσ' ἐπ' ἀπείρονα γαῖαν.
μήδεα δ', ὡς τοπρῶτον ἀποτμήξας ἀδάμαντι,
κάββαλ' ἀπ' ἠπείροιο πολυκλύστῳ ἐνὶ πόντῳ·
ὣς φέρετ' ἂμ πέλαγος πουλὺν χρόνον, ἀμφὶ δὲ λευκὸς

---

165. *πατέρος* **t. (non ai.)** *κε*] **Herm. M. p. 151.** *γε* **atmg.** *δὲ* **i. 166. Om.** *γὰρ* **i. 167.** *ἕλε* **i. 171.** *πατέρος τε δ.* **i.** *πατέρος γε* **tm.** *πατρός γε* **ag.** *ἀλογίζω* **i. 173.** *γήθησε* **ait. 175.** *ἅρπην* **a. 178.** *λοχίοιο* **i. (***λοχέοιο* **M. p. 204.)** *ἐδέξατο* **i. 179.** *καιῇ* **i.** *δεξιτέρῃ* **at.** *ἔλαβεν* **ait. 182.** *ἐξ ὀπίσω* **i. 184.** *πάσας δέξατο* **aitm. 185.** *Ἐριννῦς* **atm. (non i.) 186. Deest in Barocc., non in Iuntina pr. Goettl. [ ].** *δόλιχ'* **ai. 188.** *μήδεά θ'* **at. (non i.)** *ἀδάμαντον* **at. (non i.) 189.** *ἐπ' ἠπ.* **at. (non i.)** *Ἠπείροιο* **g. M. p. 419.** *πολυκλείστῳ* **i.** *ἐπ' ἠπείρου πολλυκλύστῳ* **t. 190.** *πολὺν* **it.**

ἀφρὸς ἀπ' ἀθανάτου χροὸς ὤρνυτο· τῷ δ' ἔνι κούρη
ἐθρέφθη. πρῶτον δὲ Κυθήροισι ζαθέοισιν
ἔπλητ', ἔνθεν ἔπειτα περίῤῥυτον ἵκετο Κύπρον.
ἐκ δ' ἔβη αἰδοίη καλὴ θεός, ἀμφὶ δὲ ποίη
ποσσὶν ὕπο ῥαδινοῖσιν ἀέξετο· τὴν δ' Ἀφροδίτην
ἀφρογενέα τε θεὰν καὶ ἐϋστέφανον Κυθέρειαν
κικλήσκουσι θεοί τε καὶ ἀνέρες, οὕνεκ' ἐν ἀφρῷ
θρέφθη· ἀτὰρ Κυθέρειαν, ὅτι προσέκυρσε Κυθήροις.
Κυπρογενέα δ', ὅτι γέντο πολυκλύστῳ ἐνὶ Κύπρῳ,
ἠδὲ φιλομμηδέα, ὅτι μηδέων ἐξεφαάνθη.
τῇ δ' Ἔρος ὡμάρτησε καὶ Ἵμερος ἕσπετο καλὸς
γεινομένῃ ταπρῶτα θεῶν τ' ἐς φῦλον ἰούσῃ.
ταύτην δ' ἐξ ἀρχῆς τιμὴν ἔχει ἠδὲ λέλογχεν
μοῖραν ἐν ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσιν,
παρθενίους τ' ὀάρους μειδήματα τ' ἐξαπάτας τε
τέρψιν τε γλυκερὴν φιλότητά τε μειλιχίην τε.
Τοὺς δὲ πατὴρ Τιτῆνας ἐπίκλησιν καλέεσκεν,
παῖδας νεικείων μέγας Οὐρανός, οὓς τέκεν αὐτός·
φάσκε δὲ τιταίνοντας ἀτασθαλίῃ μέγα ῥέξαι
ἔργον, τοῖο δ' ἔπειτα τίσιν μετόπισθεν ἔσεσθαι.
Νὺξ δ' ἔτεκε στυγερόν τε Μόρον καὶ Κῆρα μέλαιναν
καὶ Θάνατον, τέκε δ' Ὕπνον, ἔτικτε δὲ φῦλον Ὀνείρων·
οὔτινι κοιμηθεῖσα θεὰ τέκε Νὺξ ἐρεβεννή.
δεύτερον αὖ Μῶμον καὶ Ὀϊζὺν ἀλγινόεσσαν,
Ἑσπερίδας θ', αἷς μῆλα πέρην κλυτοῦ Ὠκεανοῖο
χρύσεα καλὰ μέλουσι φέροντά τε δένδρεα καρπόν·
καὶ Μοίρας καὶ Κῆρας ἐγείνατο νηλεοποίνους
Κλωθώ τε Λάχεσίν τε καὶ Ἄτροπον, αἵτε βροτοῖσιν
γεινομένοισι διδοῦσιν ἔχειν ἀγαθόν τε κακόν τε,

---

191. δῷ i. 193. ἔπλετο ai. (non t.) 195. ὑπαὶ i. ὑπὸ at. 196. Ἀφρογενείην τε (sic) a. Ἀφρογένειάν τε itm. ἀφρογενῆ et Κυπρογενῆ Hermannus. (M. p. 427.) 197. κικλίσκουσι ai. κυκλίσκουσι t. 198. αὐτὰρ ai. (non t.) Κυθέρεια a. (non it.) 199. Κυπρογένειαν aitm. γένοιτο atm. γένετο i. cum Cod. Bar. Κύπριν δ', ὅττι γένοιτο Herm. ἐνὶ πόντῳ a. (non it.) M. p. 420. 200. φιλομμὴ δέα (sic) a. φιλομηδέα it. μειδέων a. M. p. 263. 202. γινομένη (sic) ait. ἰούσῃ ait. 207. καλέεσκεν atg. (non i.) 213. Ὥιτινι at. (non i.) ἐρεβαινὴ i. 214. Μῶλον Ioannes Diac. M. p. 243. 216. μέμηλε Io. Diac. καρπῶν i. 217. νηλεοποίνας (sic) i. νηλεοπίνους t. νηλιτοποίνους Ruhnken. 219. πεινομένοισι a. γινομένοισι i.

αἵτ' ἀνδρῶν τε θεῶν τε παραιβασίας ἐφέπουσαι
οὐδέποτε λήγουσι θεαὶ δεινοῖο χόλοιο,
πρίν γ' ἀπὸ τῷ δώωσι κακὴν ὄπιν, ὅστις ἁμάρτῃ.
τίκτε δὲ καὶ Νέμεσιν, πῆμα θνητοῖσι βροτοῖσιν,
Νὺξ ὀλοή· μετὰ τὴν δ' Ἀπάτην τέκε καὶ Φιλότητα,
Γῆράς τ' οὐλόμενον καὶ Ἔριν τέκε καρτερόθυμον.
Αὐτὰρ Ἔρις στυγερὴ τέκε μὲν Πόνον ἀλγινόεντα,
Λήθην τε Λιμόν τε καὶ Ἄλγεα δακρυόεντα,
Ὑσμίνας τε Φόνους τε Μάχας τ' Ἀνδροκτασίας τε,
Νείκεά τε ψευδέας τε Λόγους Ἀμφιλογίας τε,
Δυσνομίην Ἄτην τε, συνήθεας ἀλλήλῃσιν,
Ὅρκον θ', ὃς δὴ πλεῖστον ἐπιχθονίους ἀνθρώπους
πημαίνει, ὅτε κέν τις ἑκὼν ἐπίορκον ὀμόσσῃ.
Νηρέα δ' ἀψευδέα καὶ ἀληθέα γείνατο Πόντος,
πρεσβύτατον παίδων· αὐτὰρ καλέουσι γέροντα,
οὕνεκα νημερτής τε καὶ ἤπιος, οὐδὲ θεμιστέων
λήθεται, ἀλλὰ δίκαια καὶ ἤπια δήνεα οἶδεν.
αὖτις δ' αὖ Θαύμαντα μέγαν καὶ ἀγήνορα Φόρκυν,
Γαίῃ μισγόμενος, καὶ Κητὼ καλλιπάρῃον
Εὐρυβίην τ' ἀδάμαντος ἐνὶ φρεσὶ θυμὸν ἔχουσαν.
Νηρῆος δ' ἐγένοντο μεγήριτα τέκνα θεάων
πόντῳ ἐν ἀτρυγέτῳ καὶ Δωρίδος ἠϋκόμοιο,
κούρης Ὠκεανοῖο, τελήεντος ποταμοῖο·
Πρωτώ τ' Εὐκράντη τε Σαώ τ' Ἀμφιτρίτη τε
Εὐδώρη τε Θέτις τε Γαλήνη τε Γλαύκη τε
Κυμοθόη Σπειώ τε Θόη θ' Ἁλίη τ' ἐρόεσσα,
καὶ Μελίτη χαρίεσσα καὶ Εὐλιμένη καὶ Ἀγαυὴ
Πασιθέη τ' Ἐρατώ τε καὶ Εὐνείκη ῥοδόπηχυς
Δωτώ τε Πλωτώ τε Φέρουσά τε Δυναμένη τε,

220. ἐφέπουσιν Herm. 223. Μέμψιν Io. Diac. 224. τήν δ' t. (non ai.) 225. κρατερόθυμον t. 226. ἀλγεινόεντα it. (non a.) 227. λοιμόν τε i. (non at.) 228. Ὑσμείνας i. 228. Φόβους t. (non ai.) Μάχας Ἀνδρ. a. Μάχας τε Ἀνδρ. t. (non i.) 229. ψεύδεά τε λόγους t. M. p. 437. 230. Ἀπάτην Ruhnk. M. p. 118. ἀλλήλοισιν aitm. 233. Νηρέα τ' ἀψ. ai. (non t.) 234. ἀταρ t. 235. θεμιστίων i. 237. Φόρκην t. 238. Γαίης a. (non it.) 239. ἀδάμαντα Londin. M. p. 234. 240. μεγήριτα] ai. μεγήρητα t. μεγήρατα Ruhnk. g. Cfr. M. p. 110. 243. Εὐκράτη ai. (non t.) Εὐκρήτη Goettlingii suspicio. 245. Σπείω τε θοή, θαλίη ait. v. 246 et 247. transponuntur in i. 247. Εὐνεικὴ at. (non i.) Εὐνίκη Herm. M. p. 91. 248. Πρωτώ τε aitg. (Πλωτώ Aegii exemplaria. Reiz. Herm.) M. p. 440.

Νησαίη τε καὶ Ἀκταίη, καὶ Πρωτομέδεια,
Δωρὶς καὶ Πανόπη καὶ εὐειδὴς Γαλάτεια
Ἱπποθόη τ' ἐρόεσσα καὶ Ἱππονόη ῥοδόπηχυς,
Κυμοδόκη θ', ἣ κύματ' ἐν ἠεροειδέϊ πόντῳ
πνοιάς τε ζαθέων Ἀνέμων σὺν Κυματολήγῃ
ῥεῖα πρηΰνει καὶ ἐϋσφύρῳ Ἀμφιτρίτῃ·
Κυμώ τ' Ἠϊόνη τε ἐϋστέφανός θ' Ἁλιμήδη
Γλαυκονόμη τε φιλομμειδὴς καὶ Ποντοπόρεια
Λειαγόρη τε καὶ Εὐαγόρη, καὶ Λαομέδεια
Πουλυνόμη τε καὶ Αὐτονόη καὶ Λυσιάνασσα
Εὐάρνη τε φυήν τ' ἐρατὴ καὶ εἶδος ἄμωμος
καὶ Ψαμάθη χαρίεσσα δέμας δίη τε Μενίππη
Νησώ τ' Εὐπόμπη τε Θεμιστώ τε Προνόη τε
Νημερτής θ', ἣ πατρὸς ἔχει νόον ἀθανάτοιο.
αὗται μὲν Νηρῆος ἀμύμονος ἐξεγένοντο
κοῦραι πεντήκοντα, ἀμύμονα ἔργ' εἰδυῖαι.
Θαύμας δ' Ὠκεανοῖο βαθυῤῥείταο θύγατρα
ἠγάγετ' Ἠλέκτρην· ἡ δ' ὠκεῖαν τέκεν Ἶριν,
ἠϋκόμους θ' Ἅρπυιας, Ἀελλώ τ' Ὠκυπέτην τε,
αἵ ῥ' ἀνέμων πνοιῇσι καὶ οἰωνοῖς ἅμ' ἕπονται
ὠκείῃς πτερύγεσσι· μεταχρόνιαι γὰρ ἴαλλον.
Φόρκυϊ δ' αὖ Κητὼ Γραίας τέκε καλλιπαρῄους
ἐκ γενετῆς πολιάς, τὰς δὴ Γραίας καλέουσιν
ἀθάνατοί τε θεοὶ χαμαὶ ἐρχόμενοί τ' ἄνθρωποι,
Πεφρηδώ τ' εὔπεπλον Ἐνυώ τε κροκόπεπλον·
Γοργούς θ', αἳ ναίουσι πέρην κλυτοῦ Ὠκεανοῖο,
ἐσχατιῇ πρὸς νυκτός, ἵν' Ἑσπερίδες λιγύφωνοι,
Σθεινώ τ' Εὐρυάλη τε Μέδουσά τε λυγρὰ παθοῦσα.
ἡ μὲν ἔην θνητή, ταὶ δ' ἀθάνατοι καὶ ἀγήρῳ,

---

250. *Πανόπεια* Herm. 254. *πραΰνει σύν τε ἐΰσφ.* t. 256. *φιλομειδὴς* at. *Γλαυκονόμη φιλομειδὴς τ' αὖ καὶ Π.* t. 258. *Αὐτονόμη* a. (non it.) 261. *Θεμισώ τ'* a. (non it.) 265. *ὠκεανοῦ βαθυῤῥόταο* (sic) i. 266. *ἤγαγετ'* t. (non ai.) *ἠδ ὦκ.* at. *ἤδ' ὠκ.* i. 267. *ἠϋκόμους δ'* a. (non it.) *Ἁρπυίας* i. 269. *πτηρύγεσιν* (sic) i. 270. *Φόρκυ* Bodl. M. p. 228. *παῖδας τέκε* Goettlingii suspicio. *καλλιπάρῃος* cum Seleuco g. 272. *χαμαί* (sic) *τ' ἐρχόμενοι ἀνθρ.* a. *ἀθάνατοι θεοὶ* i. 273. *Τεφρηδώ* Taur. M. p. 242. *εὔπεπλον* ai. (non t.) *Ἐννύω* i. 275. *Ἑσπεριάδες* i. (non at.) 276. *Σθενώ τ'* ai. 277. *ταὶ δ'*] Herm. *αἱ δ'* aitmg. *ἀγήρως* ait. 279. Inter vv. 279. et 280. inserunt v. 288. at., quem prorsus omittit i. (Errat Goettling.)

αἱ δύο· τῇ δὲ μιῇ παρελέξατο Κυανοχαίτης
ἐν μαλακῷ λειμῶνι καὶ ἄνθεσιν εἰαρινοῖσιν.
τῆς δ' ὅτε δὴ Περσεὺς κεφαλὴν ἀπεδειροτόμησεν,
ἔκθορε Χρυσάωρ τε μέγας καὶ Πήγασος ἵππος.
τῷ μὲν ἐπώνυμον ἦν, ὅτ' ἄρ' Ὠκεανοῦ περὶ πηγὰς
γένθ'· ὁ δ' ἄορ χρύσειον ἔχεν μετὰ χερσὶ φίλῃσι·
χὠ μὲν ἀποπτάμενος, προλιπὼν χθόνα μητέρα μήλων,
ἵκετ' ἐς ἀθανάτους· Ζηνὸς δ' ἐν δώμασι ναίει,
βροντήν τε στεροπήν τε φέρων Διὶ μητιόεντι.
    Χρυσάωρ δ' ἔτεκε τρικέφαλον Γηρυονῆα,
μιχθεὶς Καλλιρόῃ κούρῃ κλυτοῦ Ὠκεανοῖο.
τὸν μὲν ἄρ' ἐξενάριξε βίη Ἡρακληείη
βουσὶ παρ' εἰλιπόδεσσι περιῤῥύτῳ εἰν Ἐρυθείῃ,
ἤματι τῷ, ὅτε περ βοῦς ἤλασεν εὐρυμετώπους
Τίρυνθ' εἰς ἱερήν, διαβὰς πόρον Ὠκεανοῖο,
Ὄρθον τε κτείνας καὶ βουκόλον Εὐρυτίωνα,
σταθμῷ ἐν ἠερόεντι πέρην κλυτοῦ Ὠκεανοῖο.
    Ἡ δ' ἔτεκ' ἄλλο πέλωρον, ἀμήχανον, οὐδὲν ἐοικὸς
θνητοῖς ἀνθρώποις οὐδ' ἀθανάτοισι θεοῖσιν,
σπῆϊ ἔνι γλαφυρῷ, θείην κρατερόφρον' Ἔχιδναν·
ἥμισυ μὲν νύμφην ἑλικώπιδα, καλλιπάρῃον,
ἥμισυ δ' αὖτε πέλωρον ὄφιν, δεινόν τε μέγαν τε.
ποικίλον, ὠμηστὴν, ζαθέης ὑπὸ κεύθεσι γαίης.
ἔνθα δέ οἱ σπέος ἐστὶ κάτω κοίλῃ ὑπὸ πέτρῃ,
τηλοῦ ἀπ' ἀθανάτων τε θεῶν θνητῶν τ' ἀνθρώπων·
ἔνθ' ἄρα οἱ δάσσαντο θεοὶ κλυτὰ δώματα ναίειν.
ἡ δ' ἔρυτ' εἰν Ἀρίμοισιν ὑπὸ χθόνα λυγρὴ Ἔχιδνα,
ἀθάνατος νύμφη καὶ ἀγήραος ἤματα πάντα
    Τῇ δὲ Τυφάονά φασι μιγήμεναι ἐν φιλότητι,

---

280. *ἀπεδηροτόμησεν* i. 281. *ἔκθορε*] Guiet. *ἐξέθορε* aitg. (M. p. 94.) *Χρυσάορ* bis a. Hoc loco dumtaxat t. 282. *ὅτ' ἂν* ai. (non t.) *παρὰ* t. 283. *γείνεθ'* a. *γένεθ'* i. (ut nos, t.) *ἔχων* it. (*γείνεθ', ὁ δ' ἄορ ἔχεν χρύσεον μ.* M. p. 67.) 284. *χῶ* a. *χ' ὤ* i. *ἀμήχανος* t. (non ai.) 287. *τρικέφαλον*] ai. M. p. 449. *τρικάρηνον* tg. (288. om. ait. V. supra ad v. 279.) 289. *Ἡρακλείῃ* ait. 290. *Βουσὶν ἐπ' εἰλοπόδεσσι* (sic) i. 293. *Ὄρθον*] aitg. *Ὄρθρον* m. M. p. 229. 294. *κλητοῦ* t. 295. *Ἡδ' ἔτεκεν ἄλλο* at. (non i.) *οὐδὲ ἐοικὸς* Lemma Schol· 303. *δάσαντο* at. 306. *Τῇδε* i. *Τυφάωνα* at. (non i.) Cod. Taur. vv. sic collocat: 295—300. 303—305. 301, 302. Hinc duplicem recensionem olim extitisse coniicit Hermannus: 1) vv. 295—300, 303. 2) 295—299, 304, 305, 301, 302.

δεινόν ϑ᾽ ὑβριστήν τ᾽ ἄνεμον ἑλικώπιδι κούρῃ·
ἡ δ᾽ ὑποκυσαμένη τέκετο κρατερόφρονα τέκνα.
Ὄρϑον μὲν πρῶτον κύνα γείνατο Γηρυονῆϊ·
δεύτερον αὖτις ἔτικτεν ἀμήχανον, οὔτι φατειὸν
Κέρβερον, ὠμηστήν, Ἀΐδεω κύνα χαλκεόφωνον,
πεντηκοντακέφαλον, ἀναιδέα τε κρατερόν τε.
τὸ τρίτον Ὕδρην αὖτις ἐγείνατο, λύγρ᾽ εἰδυῖαν,
Λερναίην, ἣν ϑρέψε ϑεὰ λευκώλενος Ἥρη,
ἄπλητον κοτέουσα βίῃ Ἡρακληείῃ.
καὶ τὴν μὲν Διὸς υἱὸς ἐνήρατο νηλέϊ χαλκῷ
Ἀμφιτρυωνιάδης σὺν ἀρηϊφίλῳ Ἰολάῳ,
Ἡρακλέης βουλῇσιν Ἀϑηναίης ἀγελείης.
ἡ δὲ Χίμαιραν ἔτικτε, πνέουσαν ἀμαιμάκετον πῦρ,
δεινήν τε μεγάλην τε ποδώκεά τε κρατερήν τε.
τῆς δ᾽ ἦν τρεῖς κεφαλαί· μία μὲν χαροποῖο λέοντος,
ἡ δὲ χιμαίρης, ἡ δ᾽ ὄφιος, κρατεροῖο δράκοντος.
[πρόσϑε λέων, ὄπιϑεν δὲ δράκων, μέσση δὲ χίμαιρα,
δεινὸν ἀποπνείουσα πυρὸς μένος αἰϑομένοιο.]
τὴν μὲν Πήγασος εἷλε καὶ ἐσϑλὸς Βελλεροφόντης.
ἡ δ᾽ ἄρα Φῖκ᾽ ὀλοὴν τέκε Καδμείοισιν ὄλεϑρον,
Ὄρϑῳ ὑποδμηϑεῖσα, Νεμειαῖόν τε λέοντα,
τόν ῥ᾽ Ἥρη ϑρέψασα, Διὸς κυδνὴ παράκοιτις,
γουνοῖσιν κατένασσε Νεμείης, πῆμ᾽ ἀνϑρώποις.
ἔνϑ᾽ ἄρ᾽ ὅγ᾽ οἰκείων ἐλεφαίρετο φῦλ᾽ ἀνϑρώπων,
κοιρανέων Τρητοῖο Νεμείης ἠδ᾽ Ἀπέσαντος·
ἀλλά ἑ ἲς ἐδάμασσε βίης Ἡρακληείης.
Κητὼ δ᾽ ὁπλότατον, Φόρκυι φιλότητι μιγεῖσα,
γείνατο δεινὸν ὄφιν, ὃς ἐρεμνῆς κεύϑεσι γαίης
πείρασιν ἐν μεγάλοις παγχρύσεα μῆλα φυλάσσει.
τοῦτο μὲν ἐκ Κητοῦς καὶ Φόρκυνος γένος ἐστίν.

---

307. *ὑβριστὴν ἄνεμον* **a.** *ὑβριστὴν ἄνομον* **i.** **308.** *ὑποκυσσαμένη* **ait.** **309.** *Ὄρϑρον* **m.** **312.** *πεντηκονταχάρηνον* **tg.** **315.** *ἄπληστον* **Herm.** **319.** *ἀμαιμάχετον* **at. (non i.)** **321.** *αὖ* **Bodl. M. p. 231.** **322.** *ἠδὲ Χ. ἠδ᾽* **i.** **323.** *λέων ὄπισϑε δράκων* **(*sic*) i.** **326.** *Σφίγγ᾽* **ai. (non t.)** **327.** *Ὄρϑρῳ* **m.** **328.** *τὸν δ᾽ Ἥρη* **t.** *κυδρὴ* **Taur. et alii Codd.** **330.** *ἐλεφέρετο* **i.** **331.** *τρητοῖο* **ait.** *Ἀπέσσαντος* **i.** **332.** *ἐδάμασε* **i.** **333.** *Φόρκυνι* **ai. (non t.)** *Φόρκυ* **Lascaris.** **336.** *Φόρκυος* **t.** **340.** *Φᾶσιν τε Ῥῆσον τε* **ait.** *Ἀχελώϊόν τ᾽*] **Triclin. M. p. 95. 97. 270.** *Ἀχελῷον τ᾽* **Guietus. m.** *Ἀχέλωϊον ἀργ.* **aitg.** **341.** *Ῥόδιόν ϑ᾽* **ait.** **342.** *ϑεῖόν τε Σιμόεντα*] **M. p. 96.**

Τηθὺς δ' Ὠκεανῷ Ποταμοὺς τέκε δινήεντας,
Νεῖλόν τ' Ἀλφειόν τε ταὶ Ἠριδανὸν βαθυδίνην,
Στρυμόνα Μαίανδρόν τε καὶ Ἴστρον καλλιρέεθρον,
Φᾶσίν τε Ῥῆσόν τ', Ἀχελώϊόν τ' ἀργυροδίνην,
Νέσσον τε Ῥοδίον θ' Ἁλιάκμονά θ' Ἑπτάπορόν τε
Γρήνικόν τε καὶ Αἴσηπον θεῖόν τε Σιμόεντα
Πηνειόν τε καὶ Ἕρμον ἐϋρρείτην τε Κάϊκον
Σαγγάριόν τε μέγαν Λάδωνά τε Παρθένιόν τε
Εὐηνόν τε καὶ Ἄρδησκον θεῖόν τε Σκάμανδρον.
Τίκτε δὲ θυγατέρων ἱερὸν γένος, αἳ κατὰ γαῖαν
ἄνδρας κουρίζουσι σὺν Ἀπόλλωνι ἄνακτι
καὶ Ποταμοῖς· ταύτην δὲ Διὸς πάρα μοῖραν ἔχουσιν,
Πειθώ τ' Ἀδμήτη τε Ἰάνθη τ' Ἠλέκτρη τε
Δωρίς τε Πρυμνώ τε καὶ Οὐρανίη θεοειδὴς
Ἱππώ τε Κλυμένη τε Ῥόδειά τε Καλλιρόη τε
Ζευξώ τε Κλυτίη τε Ἰδυῖά τε Πασιθόη τε
Πληξαύρη τε Γαλαξαύρη τ' ἐρατή τε Διώνη
Μηλόβοσίς τε Θόη τε καὶ εὐειδὴς Πολυδώρη
Κερκηΐς τε φυὴν ἐρατὴ Πλουτώ τε βοῶπις
Περσηΐς τ' Ἰάνειρά τ' Ἀκάστη τε Ξάνθη τε
Πετραίη τ' ἐρόεσσα Μενεσθώ τ' Εὐρώπη τε·
Μῆτίς τ' Εὐρυνόμη τε Τελεσθώ τε κροκόπεπλος
Χρυσηΐς τ' Ἀσίη τε καὶ ἱμερόεσσα Καλυψὼ
Εὐδώρη τε Τύχη τε καὶ Ἀμφιρὼ Ὠκυρόη τε
καὶ Στὺξ, ἣ δή σφεων προφερεστάτη ἐστὶν ἁπασέων.
αὗται δ' Ὠκεανοῦ καὶ Τηθύος ἐξεγένοντο
πρεσβύταται κοῦραι· πολλαί γε μέν εἰσι καὶ ἄλλαι.
τρὶς γὰρ χίλιαί εἰσι τανύσφυροι Ὠκεανῖναι,
αἵ ῥα πολυσπερέες γαῖαν καὶ βένθεα λίμνης
πάντῃ ὁμῶς ἐφέπουσι, θεάων ἀγλαὰ τέκνα.

θεῖόν τε Σιμοῦντα aitg. Σιμόεντά τε θεῖον Herm. 343. εὐρείτην ai. 345. Ἄλδισκον t. (non ai.) Κάμανδρον Triclin. 346. Τίκτε θυγατέρων i. 347. κουρίζουσι (sic) Ἀπόλλωνι ξὺν ἄνακτι t. (Wolf.) 351. Ῥοδία ait. 352. Πεισιθόη Par. 1. M. p. 217. Πασιθέη Schol. 354. Θοη τε (sic) a. Θοή τε i. (non t.) 355. Κερκηὺς i. ἐρατὴν a. 357. Πετραίης t. Μενεστώ τ' g. (non ait.) 358. Τελεστώ τε ig. (non at. M. p. 149.) 359. Κρισίη a. Κρυσηΐς i. Κρισίης t. Κρισσηΐς Naeke. Χρυσηΐς Hermann. ex Hymn. in Cer. 421. M. p. 136. 360. Ἀμφιρώ habet Iuntina prima, secunda Ἀμφυρώ. 364. μύριαι Schol. Pind. Nem. 10, 150. Ὠκεανίναι at. (non i.)

τόσσοι δ' αὖϑ' ἕτεροι Ποταμοὶ καναχηδὰ ῥέοντες,
υἱέες Ὠκεανοῦ, τοὺς γείνατο πότνια Τηϑύς·
τῶν ὄνομ' ἀργαλέον πάντων βροτὸν ἄνδρα ἐνισπεῖν,
οἱ δὲ ἕκαστοι ἴσασιν, οἵ ἂν περιναιετάωσιν.
Θεία δ' Ἠέλιόν τε μέγαν λαμπράν τε Σελήνην,
Ἠῶ ϑ', ἣ πάντεσσιν ἐπιχϑονίοισι φαείνει
ἀϑανάτοις τε ϑεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
γείναϑ' ὑποδμηϑεῖσ' Ὑπερίονος ἐν φιλότητι.
Κρίῳ δ' Εὐρυβίη τίκτεν φιλότητι μιγεῖσα
Ἀστραῖόν τε μέγαν Πάλλαντά τε δῖα ϑεάων
Πέρσην ϑ', ὃς καὶ πᾶσι μετέπρεπεν ἰδμοσύνῃσιν.
Ἀστραίῳ δ' Ἠὼς Ἀνέμους τέκε καρτεροϑύμους:
ἀργέστην Ζέφυρον Βορέην τ' αἰψηροκέλευϑον
καὶ Νότον, ἐν φιλότητι ϑεῷ ϑεὰ εὐνηϑεῖσα.
τοὺς δὲ μέτ' ἀστέρα τίκτεν Ἑωσφόρον Ἠριγένεια,
ἄστρα τε λαμπετόωντα, τάτ' οὐρανὸς ἐστεφάνωται.
Στὺξ δ' ἔτεκ' Ὠκεανοῦ ϑυγάτηρ Πάλλαντι μιγεῖσα
Ζῆλον καὶ Νίκην καλλίσφυρον ἐν μεγάροισιν·
καὶ Κράτος ἠδὲ Βίην ἀριδείκετα γείνατο τέκνα·
τῶν οὐκ ἔστ' ἀπάνευϑε Διὸς δόμος οὐδέ τις ἕδρη
οὐδ' ὁδὸς, ὅππη μὴ κείνοις ϑεὸς ἡγεμονεύῃ,
ἀλλ' αἰεὶ πὰρ Ζηνὶ βαρυκτύπῳ ἑδριόωνται.
ὥς γὰρ ἐβούλευσε Στὺξ ἄφϑιτος Ὠκεανίνη
ἤματι τῷ, ὅτε πάντας Ὀλύμπιος ἀστεροπητὴς
ἀϑανάτους ἐκάλεσσε ϑεοὺς ἐς μακρὸν Ὄλυμπον,
εἶπε δ', ὃς ἂν μετὰ εἷο ϑεῶν Τιτῆσι μάχοιτο,
μή τιν' ἀποῤῥαίσειν γεράων, τιμὴν δὲ ἕκαστον
ἑξέμεν, ἣν τοπάρος γε, μετ' ἀϑανάτοισι ϑεοῖσιν·
τὸν δ' ἔφαϑ', ὅστις ἄτιμος ὑπὸ Κρόνου ἠδ' ἀγέραστος,
τιμῆς καὶ γεράων ἐπιβησέμεν, ᾗ ϑέμις ἐστίν.

---

369. *βροτῶν* ait. *ἐνίσπειν* ai. *ἄνδρ' ἓν* (sic) *ἐνισπεῖν* t. *ἄνδρ' ἐνενιπεῖν* g. 370. *ὅσοι περιναιετάωσιν* t. *ὅσοι περιναιετάουσι* ig. ut nos, a. 371. *Θείη* ait. *λαμπρήν τε* g. 372. *Ἠῶ τ'* (sic) ait. *ἐπιχϑονίῃσι* i. 373. *ϑεοῖς* aitg. Correxit Wolf. 374. *ὑπευνηϑεῖσ'* at. *ὑποδμηϑεῖσα Ὑπ.* i. M. p. 260. 375. M. p. 18. 189. *τέκεν ἐν φ.* itg. (non a.) 377. *ὃς πάσαισι μ.* t. (non ai.) *ὃς πάσῃσι* g. 379. *ἀργέστην Ζέφυρον*] i. sine distinctione, quae est in atg. M. p. 471. *Βορέην λαιψηροκέλευϑον* a. *Βορέην τε λαιψηροκέλευϑον* i. *Β. τ' ἐψηροκέλευϑον* (sic) t. 380. *ϑεὰ ϑεῷ* itg. M. p. 68. 383. *Στὺξ δὲ τέκ'* at. *Στὺξ δ' ἔτεκεν Ὠ.* i. 384. *νείκην πολύσφυρον* i.

ἦλθε δ' ἄρα πρώτη Στὺξ ἄφθιτος Οὔλυμπόνδε
σὺν σφοῖσιν παίδεσσι φίλου διὰ μήδεα πατρός.
τὴν δὲ Ζεὺς τίμησε, περισσὰ δὲ δῶρα ἔδωκεν.
αὐτὴν μὲν γὰρ ἔθηκε θεῶν μέγαν ἔμμεναι ὅρκον,
παῖδας δ' ἤματα πάντα ἑοὺς μεταναιέτας εἶναι.
ὣς δ' αὔτως πάντεσσι διαμπερὲς, ὥσπερ ὑπέστη,
ἐξετέλεσσ'· αὐτὸς δὲ μέγα κρατεῖ ἠδὲ ἀνάσσει.
Φοίβη δ' αὖ Κοίου πολυήρατον ἦλθεν ἐς εὐνήν·
κυσαμένη δὴ ἔπειτα θεὰ θεοῦ ἐν φιλότητι
Λητὼ κυανόπεπλον ἐγείνατο, μείλιχον αἰεὶ,
ἤπιον ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσιν,
μείλιχον ἐξ ἀρχῆς, ἀγανώτατον ἐντὸς Ὀλύμπου.
γείνατο δ' Ἀστερίην εὐώνυμον, ἥν ποτε Πέρσης
ἠγάγετ' ἐς μέγα δῶμα φίλην κεκλῆσθαι ἄκοιτιν.
ἡ δ' ὑποκυσαμένη Ἑκάτην τέκε, τὴν περὶ πάντων
Ζεὺς Κρονίδης τίμησε· πόρεν δέ οἱ ἀγλαὰ δῶρα,
μοῖραν ἔχειν γαίης τε καὶ ἀτρυγέτοιο θαλάσσης.
ἡ δὲ καὶ ἀστερόεντος ὑπ' οὐρανοῦ ἔμμορε τιμῆς,
ἀθανάτοις τε θεοῖσι τετιμένη ἐστὶ μάλιστα.
καὶ γὰρ νῦν ὅτε πού τις ἐπιχθονίων ἀνθρώπων
ἔρδων ἱερὰ καλὰ κατὰ νόμον ἱλάσκηται,
κικλήσκει Ἑκάτην· πολλή τέ οἱ ἕσπετο τιμὴ
ῥεῖα μάλ', ᾧ πρόφρων γε θεὰ ὑποδέξεται εὐχάς·
καί τέ οἱ ὄλβον ὀπάζει, ἐπεὶ δύναμίς γε πάρεστιν.
ὅσσοι γὰρ Γαίης τε καὶ Οὐρανοῦ ἐξεγένοντο
καὶ τιμὴν ἔλαχον, τούτων ἔχει αἶσαν ἁπάντων,
οὐδέ τί μιν Κρονίδης ἐβιήσατο οὐδέ τ' ἀπηύρα,
ὅσσ' ἔλαχεν Τιτῆσι μετὰ προτέροισι θεοῖσιν,
ἀλλ' ἔχει ὡς τοπρῶτον ἀπ' ἀρχῆς ἔπλετο δασμός.
οὐδ', ὅτι μουνογενὴς, ἧσσον θεὰ ἔμμορε τιμῆς,

M. p. 197. 202. 386. *δρόμος* **i. (cum Medic.) 387.** *ὅποι* **i.** *ἡγεμονεύει* aitg. Emendavit Hermannus. **391.** *ἐς μακάρων* **t. 392.** *θεὸν* **t. 393.** *ἀποραίσειν* **ait. 396.** *ἐστί* ai. 397. *ἄφθιτον* t. **398.** *Σὺν σφίσι* **(sic) ait. 401.** *ἑοῦ* **(sic) t. M. p. 215. 402.** *αὔτως* it. 403. *ἠδ' ἀνάσσει* **ait. 405.** *Κυσσαμένη* **ait. (item 411.)** *δ' ἤπειτα* **ait. 411.** *ὑποκυσσαμένη* ait. 413. *Ἠδὲ καὶ* **ait. 414.** *ἠδέ* **ait. 415.** *θεοῖσι τετιημένη* **t. 417.** *ῥέζων* **t. 418.** *ἔσπετο* ai. 419. *οὐ πρ.* **Taur. 420.** *Καί οἱ* **ait.** *ὀπάζοι* **ait. 424.** *τετῆσι* **ai. 426.** *οὐδέ τι μ.* Schol. Flor. ad Apollon. **Rh. 3, 1035. M. p. 477.**

[καὶ γέρας ἐν γαίῃ τε καὶ οὐρανῷ ἠδὲ θαλάσσῃ·]
ἀλλ' ἔτι καὶ πολὺ μᾶλλον, ἐπεὶ Ζεὺς τίεται αὐτήν.
ᾧ δ' ἐθέλει, μεγάλως παραγίγνεται ἠδ' ὀνίνησιν,
ἐν δ' ἀγορῇ λαοῖσι μεταπρέπει, ὅν κ' ἐθέλῃσιν.
ἠ δ' ὁπότ' ἐς πόλεμον φθισήνορα θωρήσσωνται
ἀνέρες, ἔνθα θεὰ παραγίγνεται, οἷς κ' ἐθέλῃσιν,
νίκην προφρονέως ὀπάσαι καὶ κῦδος ὀρέξαι·
ἔν τε δίκῃ βασιλεῦσι παρ' αἰδοίοισι καθίζει.
ἐσθλὴ δ' αὖθ', ὁπότ' ἄνδρες ἀγῶνι ἀεθλεύωσιν·
ἔνθα θεὰ καὶ τοῖς παραγίγνεται ἠδ' ὀνίνησιν.
νικήσας δὲ βίῃ καὶ κάρτεϊ καλὸν ἄεθλον
ῥεῖα φέρει χαίρων τε τοκεῦσιν κῦδος ὀπάζει.
ἐσθλὴ δ' ἱππήεσσι παρεστάμεν, οἷς κ' ἐθέλῃσιν,
καὶ τοῖς, οἳ γλαυκὴν δυσπέμφελον ἐργάζονται·
εὔχονται δ' Ἑκάτῃ καὶ ἐρικτύπῳ Ἐννοσιγαίῳ,
ῥηϊδίως δ' ἄγρην κυδνὴ θεὸς ὤπασε πολλήν,
ῥεῖα δ' ἀφείλετο φαινομένην, ἐθέλουσά γε θυμῷ.
ἐσθλὴ δ' ἐν σταθμοῖσι σὺν Ἑρμῇ ληΐδ' ἀέξειν·
βουκολίας τ' ἀγέλας τε καὶ αἰπόλια πλατέ' αἰγῶν
ποίμνας τ' εἰροπόκων ὀΐων, θυμῷ γ' ἐθέλουσα,
ἐξ ὀλίγων βριάει καὶ ἐκ πολλῶν μείονα θῆκεν.
οὕτω τοι καὶ μουνογενὴς ἐκ μητρὸς ἐοῦσα
πᾶσι μετ' ἀθανάτοισι τετίμηται γεράεσσιν.
θῆκε δέ μιν Κρονίδης κουροτρόφον, οἳ μετ' ἐκείνην
ὀφθαλμοῖσιν ἴδοντο φάος πολυδερκέος Ἠοῦς.
[οὕτως ἐξ ἀρχῆς κουροτρόφος· αἵδε τε τιμαί.]
Ῥείη δ' αὖ δμηθεῖσα Κρόνῳ τέκε φαίδιμα τέκνα,
Ἱστίην, Δήμητρα καὶ Ἥρην χρυσοπέδιλον,
ἴφθιμόν τ' Ἀΐδην, ὃς ὑπὸ χθονὶ δώματα ναίει
νηλεὲς ἦτορ ἔχων, καὶ ἐρίκτυπον Ἐννοσίγαιον,
Ζῆνά τε μητιόεντα, θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν,

---

429 et 432. *παραγίνεται* **ait. 430.** *ἐν δ' ἀγ.*] **M. p. 78.** *ἔν θ' ἀγ.* **ait.** *ἔν τ' ἀγ.* **g. 431.** *ἠδ' ὁπ.* **i.** *ἦδ' ὅταν* **t.** *θωρήσσονται* **aitm. 436.** *τοῖσι παραγίνεται* **ait. 438.** *τοκεῦσί τε* **ai. (non t.)** *χαίρων τε, τοκεῦσι δὲ* **κ. Stephanus cum Triclinio. 442.** *κυδρὴ* **Ven. P. 2. 446.** *εἰροπόπων γ' ὀΐων* **ait.** *γε θέλουσα* **ait. 447.** *κὰκ* **m. 451.** *πολυδερκέον* **t. 452.** *αἵδε τε*] **Herm.** *αἵ δέ τε* **aitg. 453.** *Ῥείη δ' αὖ δμηθεῖσα*] **ai. Herm.** *Ῥείη ὑποδμηθεῖσα* **t.** *Ῥεῖα δ' ὑποδμηθεῖσα* **g. 454.** *Ἑστίην* **Hertelius. M. p. 27.** *ἵρην* **ait.** *Ἶριν* **Eustath. p. 1564. 459.** *μέ-*

τοῦ καὶ ὑπὸ βροντῆς πελεμίζεται εὐρεῖα χθών.
καὶ τοὺς μὲν κατέπινε μέγας Κρόνος, ὅστις ἕκαστος
νηδύος ἐξ ἱερῆς μητρὸς πρὸς γούναθ' ἵκοιτο·
τὰ φρονέων, ἵνα μή τις ἀγαυῶν Οὐρανιώνων
ἄλλος ἐν ἀθανάτοισιν ἔχοι βασιληΐδα τιμήν.
πεύθετο γὰρ Γαίης τε καὶ Οὐρανοῦ ἀστερόεντος,
οὕνεκά οἱ πέπρωτο ἑῷ ὑπὸ παιδὶ δαμῆναι
καὶ κρατερῷ περ ἐόντι, Διὸς μεγάλου διὰ βουλάς.
τῷ ὅγε οὐκ ἀλαοσκοπιὴν ἔχεν, ἀλλὰ δοκεύων
παῖδας ἑοὺς κατέπινε· Ῥέην δ' ἔχε πένθος ἄλαστον.
ἀλλ' ὅτε δὴ Δί' ἔμελλε θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν
τέξεσθαι, τότ' ἔπειτα φίλους λιτάνευε τοκῆας
τοὺς αὐτῆς, Γαῖάν τε καὶ Οὐρανὸν ἀστερόεντα,
μῆτιν συμφράσσασθαι, ὅπως λελάθοιτο τεκοῦσα
παῖδα φίλον, τίσαιτο δ' ἐρινῦς πατρὸς ἑοῖο
παίδων, οὓς κατέπινε μέγας Κρόνος ἀγκυλομήτης.
οἱ δὲ θυγατρὶ φίλῃ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο·
καί οἱ πεφραδέτην, ὅσαπερ πέπρωτο γενέσθαι
ἀμφὶ Κρόνῳ βασιλῆϊ καὶ υἱέϊ καρτεροθύμῳ.
πέμψαν δ' ἐς Λύκτον, Κρήτης ἐς πίονα δῆμον,
ὁππότ' ἄρ' ὁπλότατον παίδων ἤμελλε τεκέσθαι
[Ζῆνα μέγαν· τὸν μέν οἱ ἐδέξατο Γαῖα πελώρη
Κρήτῃ ἐν εὐρείῃ τρεφέμεν ἀτιταλλέμεναί τε.]
ἔνθα μιν ἷκτο φέρουσα θοὴν διὰ νύκτα μέλαιναν,
πρώτην ἐς Λύκτον· κρύψεν δέ ἑ χερσὶ λαβοῦσα
ἄντρῳ ἐν ἠλιβάτῳ, ζαθέης ὑπὸ κεύθεσι γαίης,
Αἰγαίῳ ἐν ὄρει, πεπυκασμένῳ, ὑλήεντι.
τῷ δὲ σπαργανίσασα μέγαν λίθον ἐγγυάλιξεν
Οὐρανίδῃ μέγ' ἄνακτι, θεῶν προτέρῳ βασιλῆϊ·
τὸν τόθ' ἑλὼν χείρεσσιν ἑὴν ἐγκάτθετο νηδὺν,

γας Κρόνος] Medic. M. p. 210. *Κρόνος μέγας* aitg. Fort. *ὥς τις*. Wolf. 462. *ἔχει* ait. *ἔχῃ* m. (*ἔχοι* Par. Taur.) 465. *πατρὸς μεγάλου* t. 466. *τῷ καὶ ὅγ' οὐκ* Herm. 468. *ὅτε δή ῥ' ἤμελλε* M. p. 202. 469. *τεύξεσθαι* t. 470. *τοὺς αὐτῆς* habent iam ait. Ante Reizium volgo *τοὺς αὑτῆς*. 472. *Ἐριννὺς* (sic) ait. 479. *οἱ δέξατο* t. 480. *Κρήτῃ εὐρείῃ* ait. *τρεφέμεν*] t. Muetz. p. 65. *τραφέμεν* aig. *τραφέμεν τ'* Winterton. M. p. 84. 481. *ἔνθα μιν*] Herm. *ἔνθα μὲν* aitg. 482. *πρῶτον εἰς αὐτὴν Λύκτον* ai. (non t.) *κρύψε δέ ἑ* ait. *χειρὶ* Triclin. 484. Habent *Αἰγαίῳ* ait., non *Ἀργαίῳ*, ut Basil. 1542. Steph. 487. *νηδὴν* ait.

σχέτλιος, οὐδ' ἐνόησε μετὰ φρεσὶν, ὥς οἱ ὀπίσσω
ἀντὶ λίθου ἑὸς υἱὸς ἀνίκητος καὶ ἀκηδὴς
λείπεθ', ὅ μιν τάχ' ἔμελλε βίῃ καὶ χερσὶ δαμάσσας
τιμῆς ἐξελάαν, ὁ δ' ἐν ἀθανάτοισιν ἀνάξειν.
Καρπαλίμως δ' ἄρ' ἔπειτα μένος καὶ φαίδιμα γυῖα
ηὔξετο τοῖο ἄνακτος· ἐπιπλομένων δ' ἐνιαυτῶν
Γαίης ἐννεσίῃσι πολυφραδέεσσι δολωθεὶς
ὃν γόνον ἄψ ἀνέηκε μέγας Κρόνος ἀγκυλομήτης
νικηθεὶς τέχνῃσι βίηφί τε παιδὸς ἑοῖο.
πρῶτον δ' ἐξήμεσσε λίθον, πύματον καταπίνων·
τὸν μὲν Ζεὺς στήριξε κατὰ χθονὸς εὐρυοδείης
Πυθοῖ ἐν ἠγαθέῃ γυάλοις ὑπὸ Παρνησοῖο,
σῆμ' ἔμεν ἐξοπίσω, θαῦμα θνητοῖσι βροτοῖσιν.
[Λῦσε δὲ πατροκασιγνήτους ὀλοῶν ἀπὸ δεσμῶν
Οὐρανίδας, οὓς δῆσε πατὴρ ἀεσιφροσύνῃσιν·
οἵ οἱ ἀπεμνήσαντο χάριν εὐεργεσιάων,
δῶκαν δὲ βροντὴν ἠδ' αἰθαλόεντα κεραυνὸν
καὶ στεροπήν· τοπρὶν δὲ πελώρη Γαῖα κεκεύθει·
τοῖς πίσυνος θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει.]
Κούρην δ' Ἰαπετὸς καλλίσφυρον Ὠκεανίνην
ἠγάγετο Κλυμένην καὶ ὁμὸν λέχος εἰσανέβαινεν.
ἡ δέ οἱ Ἄτλαντα κρατερόφρονα γείνατο παῖδα,
τίκτε δ' ὑπερκύδαντα Μενοίτιον ἠδὲ Προμηθέα
ποικίλον, αἰολόμητιν, ἁμαρτίνοόν τ' Ἐπιμηθέα,
ὃς κακὸν ἐξ ἀρχῆς γένετ' ἀνδράσιν ἀλφηστῇσιν·
πρῶτος γάρ ῥα Διὸς πλαστὴν ὑπέδεκτο γυναῖκα
παρθένον. ὑβριστὴν δὲ Μενοίτιον εὐρύοπα Ζεὺς
εἰς Ἔρεβος κατέπεμψε βαλὼν ψολόεντι κεραυνῷ
εἵνεκ' ἀτασθαλίης τε καὶ ἠνορέης ὑπερόπλου.
Ἄτλας δ' οὐρανὸν εὐρὺν ἔχει κρατερῆς ὑπ' ἀνάγκης,
πείρασιν ἐν γαίης, πρόπαρ Ἑσπερίδων λιγυφώνων
ἑστηώς, κεφαλῇ τε καὶ ἀκαμάτοισι χέρεσσιν.

---

488. *ὀπίσω* **ait.** **491.** *ἐξελάειν* **t.** **493.** *ἐπιπλομένου ἐνιαυτοῦ* **(*sic*) ai.** *ἐπιπλομένου δ' ἐνιαυτοῦ* **m.** *ἐπιπλομένων ἐνιαυτῶν* **t. M. p. 106.** **497.** *ἐξήμεσσε*] **Herm.** *ἐξήμησε* **aitg.** **501.** *λύσε* **t.** *ὑπὸ* **ai. (non t.)** **503.** *ἐπεμνήσαντο* **t. cum Triclinio.** **505.** *τὸ πρὶν* **ait.** **511.** *ἀγκυλόμητιν* **Taur.** *αἰολομῆτιν ἁμαρτὶ νοόν τ'* **(*sic*) ait.** **519.** *ἀκαμάτοισι*] **aitm.** *ἀκαμάτῃσι* **Paris. 2. g. Cfr. v. 747. M. p. 194.** **521.** *δῆσας ἀλ.* **Draco Strat. Choeroboscus. Lascaris. M. p. 482.**

ταύτην γάρ οἱ μοῖραν ἐδάσσατο μητίετα Ζεύς.
δῆσε δ᾽ ἀλυκτοπέδῃσι Προμηθέα ποικιλόβουλον,
δεσμοῖς ἀργαλέοισι μέσον διὰ κίον᾽ ἐλάσσας·
καί οἱ ἐπ αἰετὸν ὦρσε τανύπτερον· αὐτὰρ ὅγ᾽ ἧπαρ
ἤσθιεν ἀθάνατον· τὸ δ᾽ ἀέξετο ἶσον ἁπάντῃ
νυκτὸς, ὅσον πρόπαν ἦμαρ ἔδοι τανυσίπτερος ὄρνις.
τὸν μὲν ἄρ᾽ Ἀλκμήνης καλλισφύρου ἄλκιμος υἱὸς
Ἡρακλέης ἔκτεινε, κακὴν δ᾽ ἀπὸ νοῦσον ἄλαλκεν
Ἰαπετιονίδῃ καὶ ἐλύσατο δυσφροσυνάων·
οὐκ ἀέκητι Ζηνὸς Ὀλυμπίου ὑψιμέδοντος,
ὄφρ᾽ Ἡρακλῆος Θηβαγενέος κλέος εἴη
πλεῖον ἔτ᾽ ἢ τοπάροιθεν ἐπὶ χθόνα πουλυβότειραν.
ταῦτ᾽ ἄρα ἀζόμενος τίμα ἀριδείκετον υἱόν·
καίπερ χωόμενος παῦθη χόλου, ὃν πρὶν ἔχεσκεν,
οὕνεκ᾽ ἐρίζετο βουλὰς ὑπερμενέϊ Κρονίωνι.
καὶ γὰρ ὅτ᾽ ἐκρίνοντο θεοὶ θνητοί τ᾽ ἄνθρωποι
Μηκώνῃ, τότ᾽ ἔπειτα μέγαν βοῦν πρόφρονι θυμῷ
δασσάμενος προὔθηκε, Διὸς νόον ἐξαπαφίσκων.
τῷ μὲν γὰρ σάρκας τε καὶ ἔγκατα πίονι δημῷ
ἐν ῥινῷ κατέθηκε, καλύψας γαστρὶ βοείῃ·
τῷ δ᾽ αὖτ᾽ ὀστέα λευκὰ βοὸς δολίῃ ἐπὶ τέχνῃ
εὐθετίσας κατέθηκε, καλύψας ἀργέτι δημῷ.
δὴ τότε μιν προσέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Ἰαπετιονίδη, πάντων ἀριδείκετ᾽ ἀνάκτων,
ὦ πέπον, ὡς ἑτεροζήλως διεδάσσαο μοίρας.
Ὣς φάτο κερτομέων Ζεὺς ἄφθιτα μήδεα εἰδώς.
τὸν δ᾽ αὖτε προσέειπε Προμηθεὺς ἀγκυλομήτης,
ἦκ᾽ ἐπιμειδήσας, δολίης δ᾽ οὐ λήθετο τέχνης·
Ζεῦ κύδιστε, μέγιστε θεῶν αἰειγενετάων,
τῶν δ᾽ ἕλευ, ὁπποτέρην σε ἐνὶ φρεσὶ θυμὸς ἀνώγει.
Φῆ ῥα δολοφρονέων· Ζεὺς δ᾽ ἄφθιτα μήδεα εἰδὼς
γνῶ ῥ᾽ οὐδ᾽ ἠγνοίησε δόλον· κακὰ δ᾽ ὄσσετο θυμῷ

---

524. *ἴσσον* **t.** **525.** *ἔδει* **ai. (non t.)** **531.** *τὸ πάροιθεν* **ait.** **532.** *ταῦτ᾽ ἄρ᾽ ἀζόμ.* **(sic) ait.** *ταῦτ᾽ ἄρ᾽ ἀζόμ.* **m.** *αὖτ᾽ ἄρ᾽ ὅγ᾽ ἀζόμ.* **Hermannus.** **533.** *χόλον* **(sic),** *ὅνπερ* **t. (non ai.) Cfr. M. p. 106. 233. 271.** **534.** *βουλὰ* **ai. (non t.)** **535.** *θνητοί τε ἀνθρ.* **ait.** **537.** *Ζηνὸς νόον ἐξαπατίσκων* **ai. (non t.)** **544.** *μοίραν* **(sic) ai. (non t.)** **548.** *Ζεὺς* **ait.** **550. 551.** *φῆ ῥα οὐδ᾽ ἠγνοίησε δόλον* **Cantabrig. M. p. 287.**

θνητοῖς ἀνθρώποισι, τὰ καὶ τελέεσθαι ἔμελλεν·
χερσὶ δ' ὅγ' ἀμφοτέρῃσιν ἀνείλετο λευκὸν ἄλειφα.
χώσατο δὲ φρένας, ἀμφὶ χόλος δέ μιν ἵκετο θυμὸν,
ὡς ἴδεν ὀστέα λευκὰ βοὸς δολίῃ ἐπὶ τέχνῃ.
ἐκ τοῦ δ' ἀθανάτοισιν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων
καίουσ' ὀστέα λευκὰ θυηέντων ἐπὶ βωμῶν.
τὸν δὲ μέγ' ὀχθήσας προσέφη νεφεληγερέτα Ζεύς·
Ἰαπετιονίδη, πάντων πέρι μήδεα εἰδὼς,
ὦ πέπον, οὐκ ἄρα πω δολίης ἐπελήθεο τέχνης.
Ὣς φάτο χωόμενος Ζεὺς ἄφθιτα μήδεα εἰδώς·
ἐκ τούτου δὴ ἔπειτα, δόλου μεμνημένος αἰεὶ,
οὐκ ἐδίδου μελέοισι πυρὸς μένος ἀκαμάτοιο
θνητοῖς ἀνθρώποις, οἳ ἐπὶ χθονὶ ναιετάουσιν.
ἀλλά μιν ἐξαπάτησεν ἐῢς παῖς Ἰαπετοῖο,
κλέψας ἀκαμάτοιο πυρὸς τηλέσκοπον αὐγὴν
ἐν κοίλῳ νάρθηκι· δάκεν δ' ἄρα νειόθι θυμὸν
Ζῆν' ὑψιβρεμέτην, ἐχόλωσε δέ μιν φίλον ἦτορ,
ὡς ἴδεν ἀνθρώποισι πυρὸς τηλέσκοπον αὐγήν.
αὐτίκα δ' ἀντὶ πυρὸς τεῦξεν κακὸν ἀνθρώποισιν.
γαίης γὰρ σύμπλασσε περικλυτὸς Ἀμφιγυήεις
παρθένῳ αἰδοίῃ ἴκελον Κρονίδεω διὰ βουλάς.
ζῶσε δὲ καὶ κόσμησε θεὰ γλαυκῶπις Ἀθήνη
ἀργυφέῃ ἐσθῆτι· κατὰ κρῆθεν δὲ καλύπτρην
δαιδαλέην χείρεσσι κατέσχεθε, θαῦμα ἰδέσθαι.
ἀμφὶ δέ οἱ στεφάνους νεοθηλέας ἄνθεσι ποίης
ἱμερτοὺς περέθηκε καρήατι Παλλὰς Ἀθήνη·
ἀμφὶ δέ οἱ στεφάνην χρυσέην κεφαλῆφιν ἔθηκεν,
τὴν αὐτὸς ποίησε περικλυτὸς Ἀμφιγυήεις,
ἀσκήσας παλάμῃσι, χαριζόμενος Διῒ πατρί.

---

552. ἔμελλε g. (non ait.) 553. ἄλειφαρ aim. (non tg.) M. p. 58. 554. ἀμφὶ δέ μιν χόλος Paris. 2. θυμῷ ai. (non t.) 557. βομμῷ ai. βομῶν t. 560. ἐπελήθεο] Medic. M. p. 189. ἐπιλήθεο aitg. 562. δ' ἤπειτα aitm. 563. μελίῃσι ai. μελίησι t. M. p. 73. 565. πάϊς ait. 569. Fort. ἴδ' ἒν Or. 570. τεῦξε ait. 574. ἀργυφέϊ ai. (non t.) κατὰ κρῆθεν] at. καταχρῆθεν ig. M. p. 110. 576. νεοθηλέης t. cum Triclinio. νεοθηλέος Steph. Wolf. 577. περέθηκε] Herm. παρέθηκε aitg. 578. ἀμφὶ οἱ (sic) a. ἀμφί οἱ i. (non t.) ἀμφί τέ οἱ M. p. 254. 582. κνώδαλα ὅσσ' ἤπειρος τρέφει ai. κνώδαλ' ὅσσ' (sic) ἤπειρος πολλὰ τρ. t. M. p. 41. 584. θαυμασία t. θαυμάσια g. M. p. 148. 585. αὐτὰρ ἐπεὶ τεῦξεν Herm. 587. ὀμβριμο-

τῇ δ' ἐνὶ δαίδαλα πολλὰ τετεύχατο, θαῦμα ἰδέσθαι,
κνώδαλ', ὅσ' ἤπειρος πολλὰ τρέφει ἠδὲ θάλασσα,
τῶν ὅγε πόλλ' ἐνέθηκε, (χάρις δ' ἀπελάμπετο πολλή,
θαυμασίη) ζωοῖσιν ἐοικότα φωνήεσσιν.
Αὐτὰρ ἐπειδὴ τεῦξε καλὸν κακὸν ἀντ' ἀγαθοῖο,
ἐξάγαγ', ἔνθαπερ ἄλλοι ἔσαν θεοὶ ἠδ' ἄνθρωποι,
κόσμῳ ἀγαλλομένην γλαυκώπιδος ὀβριμοπάτρης.
θαῦμα δ' ἔχ' ἀθανάτους τε θεοὺς θνητούς τ' ἀνθρώπους,
ὡς εἶδον δόλον αἰπὺν, ἀμήχανον ἀνθρώποισιν.
Ἐκ τῆς γὰρ γένος ἐστὶ γυναικῶν θηλυτεράων.
τῆς γὰρ ὀλώϊόν ἐστι γένος καὶ φῦλα γυναικῶν,
πῆμα μέγ' αἳ θνητοῖσι μετ' ἀνδράσι ναιετάουσιν,
οὐλομένης πενίης οὐ σύμφοροι, ἀλλὰ κόροιο.
ὡς δ' ὁπότ' ἐν σμήνεσσι κατηρεφέεσσι μέλισσαι
κηφῆνας βόσκουσι, κακῶν ξυνήονας ἔργων,
αἱ μέν τε πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
ἠμάτιαι σπεύδουσι, τιθεῖσί τε κηρία λευκά,
οἱ δ' ἔντοσθε μένοντες ἐπηρεφέας κατὰ σίμβλους
ἀλλότριον κάματον σφετέρην ἐς γαστέρ' ἀμῶνται·
ὣς δ' αὔτως ἄνδρεσσι κακὸν θνητοῖσι γυναῖκας
Ζεὺς ὑψιβρεμέτης θῆκε, ξυνήονας ἔργων
ἀργαλέων· ἕτερον δὲ πόρεν κακὸν ἀντ' ἀγαθοῖο·
ὅς κε γάμον φεύγων καὶ μέρμερα ἔργα γυναικῶν
μὴ γῆμαι ἐθέλῃ, ὀλοὸν δ' ἐπὶ γῆρας ἵκηται
χήτει γηροκόμοιο· ὃ δ' οὐ βιότου ἐπιδευὴς
ζώει, ἀποφθιμένου δὲ διὰ κτῆσιν δατέονται
χηρωσταί· ᾧ δ' αὖτε γάμου μετὰ μοῖρα γένηται,
κεδνὴν δ' ἔσχεν ἄκοιτιν, ἀρηρυῖαν πραπίδεσσιν,
τῷ δὲ ἀπ' αἰῶνος κακὸν ἐσθλῷ ἀντιφερίζει

πάτρης tg. **592.** *μέγ' αἳ*] **Herm.** *μέγα* **aitg. 593.** *πενίης ἀσύμφοροι* **ai.** *ἀλλ' ἀκόροιο* **ai.** *πενίης οὐ σύμφορα* **t. M. p. 192. (Errat de Iuntina prima Gaisford.** *ἀσύμφορα* **habet Cod. Cantabrig.) 594.** *σμήνεσσι*] **ait.** *σίμβλοισι* **Cod. Reg. Soc. mg. M. p. 134 et 234. 595.** *βόσκωσι* **t.** *κακοὺς* **t. 596.** *οἳ μὲν* **ai. (non t.) 598.** *οἵδ'* **ait.** *ἐπιρεφέας* **ait. 600.** *αὔτως* **ai.** *ὡσαύτως* **t. 602.** *δ' ἔπορεν* **t. 604.** *ἐθέλει* **t. 605.** *ὅδ' οὐ* **(sic) ai.** *ὅγ' οὐ* **tg. M. p. 98. 606.** *ζωὴν* **Cantabrig. Stobaeus. M. p. 236. 608.** *ἔσχε* **ai.** *ἀραρυῖαν* **ait. M. p. 84. 609. Sic Stephanus. M. p. 72.** *τῷ δέ τ' ἀπ'* **m. Criticus anonymus in marg. Exempl. Turic. Trincavellianae, Gaisford et Hermannus.** *τῷ δ' ἀπ'* **ait.** *τῷ δέ γ' ἀπ'* **g.** *τῷ δ' ἐπὶ* **Heyne.**

ἔμμεναι· ὃς δέ κε τέτμῃ ἀταρτηροῖο γενέθλης,
ζώει ἐνὶ στήθεσσιν ἔχων ἀλίαστον ἀνίην
θυμῷ καὶ κραδίῃ, καὶ ἀνήκεστον κακόν ἐστιν.
Ὣς οὐκ ἔστι Διὸς κλέψαι νόον οὐδὲ παρελθεῖν.
οὐδὲ γὰρ Ἰαπετιονίδης ἀκάκητα Προμηθεὺς
τοῖό γ' ὑπεξήλυξε βαρὺν χόλον, ἀλλ' ὑπ' ἀνάγκης
καὶ πολύϊδριν ἐόντα μέγας κατὰ δεσμὸς ἐρύκει.
Ὀβριάρεῳ δ' ὡς πρῶτα πατὴρ ὠδύσσατο θυμῷ,
Κόττῳ τ' ἠδὲ Γύγῃ, δῆσε κρατερῷ ἐνὶ δεσμῷ,
ἠνορέην ὑπέροπλον ἀγώμενος ἠδὲ καὶ εἶδος
καὶ μέγεθος· κατένασσε δ' ὑπὸ χθονὸς εὐρυοδείης·
ἔνθ' οἵγ' ἄλγε' ἔχοντες ὑπὸ χθονὶ ναιετάοντες,
εἵατ' ἐπ' ἐσχατιῇ, μεγάλης ἐν πείρασι γαίης,
δηθὰ μάλ', ἀχνύμενοι, κραδίῃ μέγα πένθος ἔχοντες.
ἀλλά σφεας Κρονίδης τε καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
οὓς τέκεν ἠΰκομος Ῥείη Κρόνου ἐν φιλότητι,
Γαίης φραδμοσύνῃσιν ἀνήγαγον ἐς φάος αὖτις·
αὐτὴ γάρ σφιν ἅπαντα διηνεκέως κατέλεξεν,
σὺν κείνοις νίκην τε καὶ ἀγλαὸν εὖχος ἀρέσθαι.
δηρὸν γὰρ μάρναντο, πόνον θυμαλγέ' ἔχοντες,
Τιτῆνές τε θεοὶ καὶ ὅσοι Κρόνου ἐξεγένοντο,
ἀντίον ἀλλήλοισι διὰ κρατερὰς ὑσμίνας·
οἱ μὲν ἀφ' ὑψηλῆς Ὄθρυος Τιτῆνες ἀγαυοὶ,
οἱ δ' ἄρ' ἀπ' Οὐλύμποιο θεοὶ, δωτῆρες ἐάων,
οὓς τέκεν ἠΰκομος Ῥείη Κρόνῳ εὐνηθεῖσα·
οἵ ῥα τότ' ἀλλήλοισι μάχην θυμαλγέ' ἔχοντες
συνεχέως ἐμάχοντο δέκα πλείους ἐνιαυτούς.
οὐδέ τις ἦν ἔριδος χαλεπῆς λύσις οὐδὲ τελευτὴ
οὐδετέροις, ἶσον δὲ τέλος τέτατο πτολέμοιο.
ἀλλ' ὅτε δὴ κείνοισι παρέσχεθεν ἄρμενα πάντα,
νέκταρ τ' ἀμβροσίην τε, τάπερ θεοὶ αὐτοὶ ἔδουσιν,

610. ὃν δέ κε ai. ὅς δέ τε t. 611. M. p. 116. 615. ἀνάγκῃ ai. (non t.) 616. καταδεσμὸς ait. 617. Βριάρεω δ' ὡς ταπρῶτα ai. Βριάρεω δ' ὡς πρῶτα tg. ὀδύσσατο ai. 618. Γύῃ Taur. g. 622. εἴαται ἐσχατιῇ t. 624. τε ἰδ' ἀθάνατοι ai. (non t.) M. p. 47. 625 et 634. Ῥεῖα g. 628. κείνοισι ait. νίκην σὺν κείνοισι M. p. 162. 632. Ὀθρύος at. Ὀρθύος i. 636. συννεχέως Steph. 637. τις ἔριδος ai. (non t.) τελευτὴν at. (non i.) 642. νέκταρ τ' ai. (non t.) 647. περιμαρνάμεθ' ai. (non t.) M. p. 261. 648. ἐξεγένοντο t. (non ai.) 649. δὴ Triclin.

πάντων ἐν στήθεσσιν ἀέξετο θυμὸς ἀγήνωρ.
ὡς νέκταρ δ' ἐπάσαντο καὶ ἀμβροσίην ἐρατεινήν,
δὴ τότε τοῖς μετέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Κέκλυτέ μευ, Γαίης τε καὶ Οὐρανοῦ ἀγλαὰ τέκνα,
ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
ἤδη γὰρ μάλα δηρὸν ἐναντίοι ἀλλήλοισιν
νίκης καὶ κράτεος πέρι μαρνάμεθ' ἤματα πάντα
Τιτῆνές τε θεοὶ καὶ ὅσοι Κρόνου ἐκγενόμεσθα.
ὑμεῖς δὲ μεγάλην τε βίην καὶ χεῖρας ἀάπτους
φαίνετε Τιτήνεσσιν ἐναντίοι ἐν δαΐ λυγρῇ,
μνησάμενοι φιλότητος ἐνηέος, ὅσσα παθόντες
ἐς φάος ἂψ ἀφίκεσθε δυσηλεγέος ἀπὸ δεσμοῦ,
ἡμετέρας διὰ βουλὰς ὑπὸ ζόφου ἠερόεντος.
Ὣς φάτο· τὸν δ' ἐξαῦτις ἀμείβετο Κόττος ἀμύμων·
δαιμόνι', οὐκ ἀδάητα πιφάσκεαι· ἀλλὰ καὶ αὐτοὶ
ἴδμεν, ὅ τοι περὶ μὲν πραπίδες, περὶ δ' ἐστὶ νόημα,
ἀλκτὴρ δ' ἀθανάτοισιν ἀρῆς γένεο κρυεροῖο·
σῇσι δ' ἐπιφροσύνῃσιν ὑπὸ ζόφου ἠερόεντος
ἄψοῤῥον δ' ἐξαῦτις ἀμειλίκτων ἀπὸ δεσμῶν
ἠλύθομεν, Κρόνου υἱὲ ἄναξ, ἀνάελπτα παθόντες.
τῷ καὶ νῦν ἀτενεῖ τε νόῳ καὶ ἐπίφρονι βουλῇ
ῥυσόμεθα κράτος ὑμὸν ἐν αἰνῇ δηϊοτῆτι,
μαρνάμενοι Τιτῆσιν ἀνὰ κρατερὰς ὑσμίνας.
Ὣς φάτ'· ἐπήνησαν δὲ θεοί, δωτῆρες ἐάων,
μῦθον ἀκούσαντες· πολέμου δὲ λιλαίετο θυμὸς
μᾶλλον ἔτ' ἢ τοπάροιθε· μάχην δ' ἀμέγαρτον ἔγειραν
πάντες, θήλειαί τε καὶ ἄρσενες, ἤματι κείνῳ,
Τιτῆνές τε θεοὶ καὶ ὅσοι Κρόνου ἐξεγένοντο,
οὕς τε Ζεὺς Ἐρέβευσφιν ὑπὸ χθονὸς ἧκε φόωσδε,
δεινοί τε κρατεροί τε, βίην ὑπέροπλον ἔχοντες.

---

650. *φαίνεται* **t.** *ἐναντίον* **t. M. p. 210. 652.** *ὑπὸ δ.* **ai. (non t.) 653.** *ἀπὸ ζ.* **tm. (non ai.) M. p. 48. 655.** *πιφαύσκεαι* **Lemma Trinc.** *πιφαύσκεο* **Paris. 2. M. p. 220. 656.** *ὅ τοι*] **Herm. M. p. 135.** *ὅτι* **aitg.** *ἐσσὶ* **Wolf. 658. 659. inverso ordine Cantabr. g. 658.** *σῇσι δ' ἐπ.*] **ai.** *σῆς δ' ὑποφραδμοσύνῃσιν* **tm.** *σῇσιν ἐπ.* **g.** *ἀπὸ ζ.* **tg. 659.** *ὑπὸ δ.* **ai. (non tg.) 660.** *ἠλύθαμεν* **m. (non aitg.)** *ἀνέελπτα* **Herm.** *Κρόνου υἱὲ Ζεῦ ἀνάελπα* **(sic) t. 662.** *ὑμῶν* **t. 664.** *ἐάων* **ait. 665.** *δ' ἐλιλαίετο* **aitg. 669.** *οὔ τε* **a.** *οὗ τε* **i.** *Ἐρέβεσφιν* **tg. (non ai.) Muetz. p. 60.** *φάωσδε* **ai.**

τῶν ἑκατὸν μὲν χεῖρες ἀπ' ὤμων ἀΐσσοντο
πᾶσιν ὁμῶς, κεφαλαὶ δὲ ἑκάστῳ πεντήκοντα
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν.
οἳ τότε Τιτήνεσσι κατέσταθεν ἐν δαῒ λυγρῇ,
πέτρας ἠλιβάτους στιβαρὰς ἐν χερσὶν ἔχοντες.
Τιτῆνες δ' ἑτέρωθεν ἐκαρτύναντο φάλαγγας
προφρονέως, χειρῶν τε βίης θ' ἅμα ἔργον ἔφαινον
ἀμφότεροι· δεινὸν δὲ περίαχε πόντος ἀπείρων,
γῆ δὲ μέγ' ἐσμαράγησεν, ἐπέστενε δ' οὐρανὸς εὐρὺς
σειόμενος, πεδόθεν δὲ τινάσσετο μακρὸς Ὄλυμπος
ῥιπῇ ὑπ' ἀθανάτων· ἔνοσις δ' ἵκανε βαρεῖα
Τάρταρον ἠερόεντα, ποδῶν τ' αἰπεῖα ἰωὴ
ἀσπέτου ἰωχμοῖο βολάων τε κρατεράων·
ὣς ἄρ' ἐπ' ἀλλήλοις ἵεσαν βέλεα στονόεντα.
φωνὴ δ' ἀμφοτέρων ἵκετ' οὐρανὸν ἀστερόεντα
κεκλομένων· οἱ δὲ ξύνισαν μεγάλῳ ἀλαλητῷ.
οὐδ' ἄρ' ἔτι Ζεὺς ἶσχεν ἑὸν μένος· ἀλλά νυ τοῦγε
εἶθαρ μὲν μένεος πλῆντο φρένες, ἐκ δέ τε πᾶσαν
φαῖνε βίην· ἄμυδις δ' ἄρ' ἀπ' οὐρανοῦ ἠδ' ἀπ' Ὀλύμπου
ἀστράπτων ἔστειχε συνωχαδόν· οἱ δὲ κεραυνοὶ
ἴκταρ ἅμα βροντῇ τε καὶ ἀστραπῇ εὖ ποτέοντο
χειρὸς ἄπο στιβαρῆς, ἱερὴν φλόγα εἰλυφόωντες
ταρφέες· ἀμφὶ δὲ γαῖα φερέσβιος ἐσμαράγιζεν
καιομένη, λάκε δ' ἀμφὶ πυρὶ μεγάλ' ἄσπετος ὕλη.
ἔζεε δὲ χθὼν πᾶσα καὶ Ὠκεανοῖο ῥέεθρα,
πόντος τ' ἀτρύγετος· τοὺς δ' ἄμφεπε θερμὸς ἀϋτμὴ
Τιτῆνας χθονίους· φλὸξ δ' ἠέρα δῖαν ἵκανεν
ἄσπετος, ὄσσε δ' ἄμερδε καὶ ἰφθίμων περ ἐόντων
αὐγὴ μαρμαίρουσα κεραυνοῦ τε στεροπῆς τε.
καῦμα δὲ θεσπέσιον κάτεχεν χάος· εἴσατο δ' ἄντα
ὀφθαλμοῖσιν ἰδεῖν ἠδ' οὔασιν ὄσσαν ἀκοῦσαι

---

675. *στιβαρῆς* **Basil. 1544. g. contra Libros notos. Muetz. p. 24. 677.** *φάλαγγας. Προφρονέως χειρῶν* **ai.** *φάλαγγας. προφρονέως. χειρῶν* **t. 680.** *δὲ τινάσσετο*] **Herm.** *δ' ἐτινάσσατο* **aitg. 682. Sic Herm. g.** *ποδῶν δ' αἰπεῖα τ' ἰωὴ* **(*sic*) ai.** *ποδῶν αἰπεῖά τ' ἰωὴ* **tm. 684.** *ὡς ἂν* **t.** *ἵεσαν* **ait. 685.** *φωνὴ δ' ἀμφοτέρων δ'* **ai. (non t.) 687.** *ἴσχεν* **aitm. 691.** *ἀστεροπῇ εὖ ποτ.* **ait.** *ἀστεροπῇ ποτ.* **Codd. aliq. Basil. 1544. Volgo. M. p. 167. 692.** *φλόγα θ' εἰλυφ.* **(*sic*) ait. 696.** *ἀμφείπετο* **ai. (non t.)**

ᾀὕτως, ὡς ὅτε γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερϑεν
πίλνατο· τοῖος γάρ κε μέγιστος δοῦπος ὀρώρει
τῆς μὲν ἐρειπομένης, τοῦ δ' ὑψόϑεν ἐξεριπόντος·
τόσσος δοῦπος ἔγεντο ϑεῶν ἔριδι ξυνιόντων.
σὺν δ' ἄνεμοι ἔνοσίν τε κονίην τ' ἐσφαράγιζον,
βροντήν τε στεροπήν τε καὶ αἰϑαλόεντα κεραυνόν,
κῆλα Διὸς μεγάλοιο, φέρον δ' ἰαχήν τ' ἐνοπήν τε
ἐς μέσον ἀμφοτέρων· ὅτοβος δ' ἄπλητος ὀρώρει
σμερδαλέης ἔριδος, κάρτος δ' ἀνεφαίνετο ἔργων.
ἐκλίνϑη δὲ μάχη· πρὶν δ' ἀλλήλοις ἐπέχοντες,
ἐμμενέως ἐμάχοντο διὰ κρατερὰς ὑσμίνας.
οἱ δ' ἄρ' ἐνὶ πρώτοισι μάχην δριμεῖαν ἔγειραν,
Κόττος τ' Ὀβριάρεώς τε Γύγης τ' ἄατος πολέμοιο·
οἵ ῥα τριηκοσίας πέτρας στιβαρῶν ἀπὸ χειρῶν
πέμπον ἐπασσυτέρας, κατὰ δ' ἐσκίασαν βελέεσσιν
Τιτῆνας, καὶ τοὺς μὲν ὑπὸ χϑονὸς εὐρυοδείης
πέμψαν καὶ δεσμοῖσιν ἐν ἀργαλέοισιν ἔδησαν,
νικήσαντες χερσὶν ὑπερϑύμους περ ἐόντας,
τόσσον ἔνερϑ' ὑπὸ γῆς, ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης,
ἶσον γάρ τ' ἀπὸ γῆς ἐς Τάρταρον ἠερόεντα.
ἐννέα γὰρ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων
οὐρανόϑεν κατιών, δεκάτῃ δ' ἐς γαῖαν ἵκοιτο·
ἐννέα δ' αὖ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων
ἐκ γαίης κατιών, δεκάτῃ δ' ἐς Τάρταρ' ἵκοιτο.
τὸν πέρι χάλκεον ἕρκος ἐλήλαται· ἀμφὶ δέ μιν νὺξ
τριστοιχεὶ κέχυται περὶ δειρήν· αὐτὰρ ὕπερϑεν
γῆς ῥίζαι πεφύασι καὶ ἀτρυγέτοιο ϑαλάσσης.
ἔνϑα ϑεοὶ Τιτῆνες ὑπὸ ζόφῳ ἠερόεντι

---

702. αὔτως ait. αὔτως. ὡς ὅτε γαῖα καὶ οὐρανὸς εὐρὸς ὕπερϑεν ἀλλήλοις πίλναιντο, μέγας δ' ὑπὸ δοῦπος ὀρώροι Hermann. p. 181. 703. μέγας ὑπὸ δ. t. M. p. 188. 705. ἔπλειτο ai. (non t.) 706. κονίην τ' ἐσφαρ.] Herm. (P. 2.) κόνιν τ' ἐσφαράγιζον ai. κόνιν τ' ἐσφράγιζον t. κόνιν ϑ' ἅμα ἐσφαράγ. g. κόνιν τε μέτ' ἐσφαρ. M. p. 169. 708. ἰσχὴν (sic) ai. 709. γρ. κόναβος Schol. Cantabrig. ἄτλητος Etymol. magn. p. 636, 59. prob. Herm. et M. p. 57. 714. Κόττος τε Βριάρεως aitg. Γύης g., ut 734. 721. γαίης t. M. p. 182. 723. δεκάτῃ δ' ἐς] Vatic. prob. Herm. δεκάτῃ ἐς aig. εκ γαίης κατιὼν δεκάτῃ ἐν (sic) γαῖαν t. 725. δεκάτῃ ἐς g. (non Vat. ait.) ἐς Τάρταρ' ἵκοιτο] Vat. ἐς Τάρταρον ἵκοιτο ait. ἐς Τάρταρον ἵκοι g. 726. περὶ ait. 727. τριστοιχὶ Dindorf. M. p. 189. δείρην πέρι Heyne. 728. πεφύκασι ai. (non t.)

κεκρύφαται βουλῇσι Διὸς νεφεληγερέταο.
[χώρῳ ἐν εὐρώεντι, πελώρης ἔσχατα γαίης.]
τοῖς οὐκ ἐξιτόν ἐστι· πύλας δ' ἐπέθηκε Ποσειδέων
χαλκείας, τεῖχος δὲ περοίχεται ἀμφοτέρωθεν·
ἔνθα Γύγης Κόττος τε καὶ Ὀβριάρεως μεγάθυμος
ναίουσιν, φύλακες πιστοὶ Διὸς αἰγιόχοιο.
ἔνθα δὲ γῆς δνοφερῆς καὶ Ταρτάρου ἠερόεντος
πόντου τ' ἀτρυγέτοιο καὶ οὐρανοῦ ἀστερόεντος
ἑξείης πάντων πηγαὶ καὶ πείρατ' ἔασιν,
ἀργαλέ', εὐρώεντα, τάτε στυγέουσι θεοί περ,
χάσμα μέγ', οὐδέ κε πάντα τελεσφόρον εἰς ἐνιαυτὸν
οὖδας ἵκοιτ', εἰ πρῶτα πυλέων ἔντοσθε γένοιτο.
ἀλλά κεν ἔνθα καὶ ἔνθα φέροι πρὸ θύελλα θυέλλη
ἀργαλέη· δεινὸν δὲ καὶ ἀθανάτοισι θεοῖσιν
τοῦτο τέρας· καὶ Νυκτὸς ἐρεμνῆς οἰκία δεινὰ
ἕστηκεν, νεφέλῃς κεκαλυμμένα κυανέῃσιν.
Τῶν πρόσθ' Ἰαπετοῖο πάϊς ἔχετ' οὐρανὸν εὐρὺν
ἑστηώς, κεφαλῇ τε καὶ ἀκαμάτῃσι χέρεσσιν
ἀστεμφέως, ὅθι Νύξ τε καὶ Ἡμέρη ἀμφὶς ἰοῦσαι
ἀλλήλας προσέειπον, ἀμειβόμεναι μέγαν οὐδὸν
χάλκεον· ἡ μὲν ἔσω καταβήσεται, ἡ δὲ θύραζε
ἔρχεται, οὐδέ ποτ' ἀμφοτέρας δόμος ἐντὸς ἐέργει·
ἀλλ' αἰεὶ ἑτέρη γε δόμων ἔκτοσθεν ἐοῦσα
γαῖαν ἐπιστρέφεται, ἡ δ' αὖ δόμου ἐντὸς ἐοῦσα
μίμνει τὴν αὐτῆς ὥρην ὁδοῦ, ἔστ' ἂν ἵκηται,
ἡ μὲν ἐπιχθονίοισι φάος πολυδερκὲς ἔχουσα,
ἡ δ' Ὕπνον μετὰ χερσὶ, κασίγνητον Θανάτοιο,
Νὺξ ὀλοὴ, νεφέλῃ κεκαλυμμένη ἠεροειδεῖ.
Ἔνθα δὲ Νυκτὸς παῖδες ἐρεμνῆς οἰκί' ἔχουσιν,
Ὕπνος καὶ Θάνατος, δεινοὶ θεοί· οὐδέ ποτ' αὐτοὺς
Ἠέλιος φαέθων ἐπιδέρκεται ἀκτίνεσσιν

---

781. εὐρόεντι ait. M. p. 100. 732. θύρας t. (non ai.) Ποσειδῶν ai. (non t.) 783. τεῖχος δέ περ οἴχεται ai. τεῖχος περίκειται δ' t. Emendavit cum Herm. Goettling. ex Vat. et P. 2. M. p. 169. (τοῖχος Medic. g.) 784. τε καὶ ὁ Βριάρεως ait. Κόττος καὶ Βριάρεως g. 786. ἐνθάδε ait. (sicque 775. 807.) 788 et 809. ἔασσιν ai. (non t.) 742. φέρει ait. (φέροι Steph.) προθύελλα ait. 743. δεινόν τε καὶ aig. δεινόν τε μὲν (id est, γε μὲν) t. 744. τέρας· νυκτὸς ρεβεννῆς t. (non ai.) 746. Τῶν πρός τ' ait. ἔχει Herm. 747. Fort. ἀκαμάτοισι. Cfr. v. 519.

οὐρανὸν εἰσανιὼν οὐδ' οὐρανόθεν καταβαίνων.
τῶν ἕτερος μὲν γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
ἥσυχος ἀνστρέφεται καὶ μείλιχος ἀνθρώποισιν,
τοῦ δὲ σιδηρέη μὲν κραδίη, χάλκεον δέ οἱ ἦτορ
νηλεὲς ἐν στήθεσσιν· ἔχει δ', ὃν πρῶτα λάβῃσιν
ἀνθρώπων· ἐχθρὸς δὲ καὶ ἀθανάτοισι θεοῖσιν.
Ἔνθα θεοῦ χθονίου πρόσθεν δόμοι ἠχήεντες,
ἰφθίμου τ' Ἀΐδεω καὶ ἐπαινῆς Περσεφονείης,
ἑστᾶσιν, δεινὸς δὲ κύων προπάροιθε φυλάσσει,
νηλειής, τέχνην δὲ κακὴν ἔχει· ἐς μὲν ἰόντας
σαίνει ὁμῶς οὐρῇ τε καὶ οὔασιν ἀμφοτέροισιν,
ἐξελθεῖν δ' οὐκ αὖτις ἐᾷ πάλιν, ἀλλὰ δοκεύων
ἐσθίει, ὅν κε λάβῃσι πυλέων ἔκτοσθεν ἰόντα
ἰφθίμου τ' Ἀΐδεω καὶ ἐπαινῆς Περσεφονείης.
Ἔνθα δὲ ναιετάει στυγερὴ θεὸς ἀθανάτοισιν,
δεινὴ Στύξ, θυγάτηρ ἀψορρόου Ὠκεανοῖο
πρεσβυτάτη· νόσφιν δὲ θεῶν κλυτὰ δώματα ναίει
μακρῇσιν πέτρῃσι κατηρεφέ'· ἀμφὶ δὲ πάντῃ
κίοσιν ἀργυρέοισι πρὸς οὐρανὸν ἐστήρικται.
παῦρα δὲ Θαύμαντος θυγάτηρ πόδας ὠκέα Ἶρις
ἀγγελίης πωλεῖται ἐπ' εὐρέα νῶτα θαλάσσης,
ὁππότ' ἔρις καὶ νεῖκος ἐν ἀθανάτοισιν ὄρηται
καί ῥ' ὅστις ψεύδηται Ὀλύμπια δώματ' ἐχόντων·
Ζεὺς δέ τε Ἶριν ἔπεμψε θεῶν μέγαν ὅρκον ἐνεῖκαι
τηλόθεν ἐν χρυσέῃ προχόῳ, πολυώνυμον ὕδωρ,
ψυχρόν, ὅ τ' ἐκ πέτρης καταλείβεται ἠλιβάτοιο,
ὑψηλῆς· πολλὸν δέ θ' ὑπὸ χθονὸς εὐρυοδείης
ἐξ ἱεροῦ ποταμοῖο ῥέει διὰ νύκτα μέλαιναν,
Ὠκεανοῖο κέρας· δεκάτη δ' ἐπὶ μοῖρα δέδασται.
ἐννέα μὲν περὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης

---

748. *ὅτι* **ai. (non t.)** *ἡμέραι τάσσον* **(sic) ai.** *Ἡμέρη ἆσσον* **g.** *ἡμέρα ἀμφὶς* **t. M. p. 42. 402. 749.** *ἀλλήλαις* **t. 750.** *καταδυέται* **Guietus. M. p. 97.** *θύραζεν* **ait. 754.** *τὴν αὖ τῆς* **ai. 755.** *ἐπὶ χθονίοισι* **ai.** *ἐπὶ χθονίῃσι* **t. 762.** *τῶν δ' ἕτερος* **t. 763.** *ἀναστρέφεται* **i. (non at.) 764.** *σιδήρη* **ai. (non t.) 767.** *πρόσθε* **t. 769.** *ἑστᾶσι* **ai. 774.** *Ἀΐδαο* **ait. M. p. 116. (Omittunt h. v. Paris. 1. et Cantabrig.) 775.** *ἐνθάδε* **ait. 778.** *μακρῇσι* **ait. 781.** *ἀγγελίῃ* **t. prob. Buttmanno. (non ai.)** *ἀγγελίην* **Cantabr. M. p. 236. 783.** *καὶ ῥ' ὅς κε ψεύσηται* **t. (non ai.) 784.** *ἐνεῖκεν* **t. (non ai.) 787.** *πολλὸν δ' ὑπὸ* **ait.**

δίνης ἀργυρέης εἰλιγμένος εἰς ἅλα πίπτει·
ἡ δὲ μί᾽ ἐκ πέτρης προρέει μέγα πῆμα θεοῖσιν.
ὅς κεν τὴν ἐπίορκον ἀπολείψας ἐπομόσσῃ
ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος Ὀλύμπου,
κεῖται νήποτμος τετελεσμένον εἰς ἐνιαυτόν,
οὐδέ ποτ᾽ ἀμβροσίης καὶ νέκταρος ἔρχεται ἆσσον
βρώσιος, ἀλλά τε κεῖται ἀνάπνευστος καὶ ἄναυδος
στρωτοῖς ἐν λεχέεσσι, κακὸν δ᾽ ἐπὶ κῶμα καλύπτει.
αὐτὰρ ἐπὴν νοῦσον τελέσῃ μέγαν εἰς ἐνιαυτόν,
ἄλλος δ᾽ ἐξ ἄλλου δέχεται χαλεπώτερος ἆθλος.
ἐννάετες δὲ θεῶν ἀπαμείρεται αἰὲν ἐόντων,
οὐδέ ποτ᾽ ἐς βουλὴν ἐπιμίσγεται οὐδ᾽ ἐπὶ δαῖτας
ἐννέα πάντ᾽ ἔτεα· δεκάτῳ δ᾽ ἐπιμίσγεται αὖτις
εἰρέας ἀθανάτων, οἳ Ὀλύμπια δώματ᾽ ἔχουσιν.
τοῖον ἄρ᾽ ὅρκον ἔθεντο θεοὶ Στυγὸς ἄφθιτον ὕδωρ,
ὠγύγιον, τό θ᾽ ἵησι καταστυφέλου διὰ χώρου.
    Ἔνθα δὲ γῆς δνοφερῆς καὶ Ταρτάρου ἠερόεντος,
πόντου τ᾽ ἀτρυγέτοιο καὶ οὐρανοῦ ἀστερόεντος,
ἑξείης πάντων πηγαὶ καὶ πείρατ᾽ ἔασιν,
ἀργαλέ᾽, εὐρώεντα, τάτε στυγέουσι θεοί περ.
ἔνθα δὲ μαρμάρεαί τε πύλαι καὶ λάϊνος οὐδὸς,
ἀστεμφὴς, ῥίζῃσι διηνεκέεσσιν ἀρηρὼς,
αὐτοφυής· πρόσθεν δὲ θεῶν ἔκτοσθεν ἁπάντων
Τιτῆνες ναίουσι, πέρην Χάεος ζοφεροῖο.
αὐτὰρ ἐρισμαράγοιο Διὸς κλειτοὶ ἐπίκουροι
δώματα ναιετάουσιν ἐπ᾽ Ὠκεανοῖο θεμέθλοις,
Κόττος τ᾽ ἠδὲ Γύγης· Βριάρεών γε μὲν ἠῢν ἐόντα·
γαμβρὸν ἐὸν ποίησε βαρύκτυπος Ἐννοσίγαιος,
δῶκε δὲ Κυμοπόλειαν ὀπυίειν, θυγατέρα ἥν.

---

795. νηπότμος (sic) ai. νήϋτμος tg. M. p. 47. 797. ἀλλά γε Medic. Paris. 2. M. p. 192. 800. χαλεπώτατος ai. (non t.) 801. εἰνάετες g. M. p. 187. ἀπομείρεται aig. (non t. M. p. 68.) 804. εἴραις Ruhnk. εἴρας ἐς Herm. M. p. 112. 806. τόδ᾽ (sic) ait. τὸ δ᾽ m. 807. 811. ἐνθάδε ait. 810. Habet etiam t. τά τε, non τά γε. M. p. 271. 811. μαρμαρέαι τε ait. λάϊνος] ai. χάλκεος tg. Cfr. Muetz. p. 47. 812. ἀστεμφῆς ai. 815. κλειτοί τ᾽ ἐπ. ai. (non t.) 817. Γύγης. Βριάρεων ait. Γύης· Βρ. g. γέμεν ait. 819. ὀπύειν ai. 820. χρυσὴν (sic) ai. χρυσῆν t. 823. ἔασσιν ai. (non t.) ἐπ᾽ ἰσχὺν M. p. 171. 825. κρατεροῖο t. et Margo Steph. 826. λελιχμότες Hom. Epimer. in Crameri Anecdd. I. p. 268. λελιχμότος Vatic. Bodl. Cantabr.

Αὐτὰρ ἐπεὶ Τιτῆνας ἀπ' οὐρανοῦ ἐξέλασε Ζεύς,
ὁπλότατον τέκε παῖδα Τυφωέα Γαῖα πελώρη,
Ταρτάρου ἐν φιλότητι διὰ χρυσέην Ἀφροδίτην.
οὗ χεῖρες μὲν ἔασιν ἐπ' ἰσχύϊ ἔργματ' ἔχουσαι
καὶ πόδες ἀκάματοι κρατεροῦ θεοῦ· ἐκ δέ οἱ ὤμων
ἦν ἑκατὸν κεφαλαὶ ὄφιος, δεινοῖο δράκοντος,
γλώσσῃσι δνοφερῇσι λελειχμότες· ἐκ δέ οἱ ὄσσων
θεσπεσίῃς κεφαλῇσιν ὑπ' ὀφρύσι πῦρ ἀμάρυσσεν·
[πασέων δ' ἐκ κεφαλέων πῦρ καίετο δερκομένοιο.]
φωναὶ δ' ἐν πάσῃσιν ἔσαν δεινῇς κεφαλῇσιν
παντοίην ὄπ' ἱεῖσαι, ἀθέσφατον· ἄλλοτε μὲν γὰρ
φθέγγονθ', ὥστε θεοῖσι συνιέμεν· ἄλλοτε δ' αὖτε
ταύρου ἐριβρύχεω, μένος ἀσχέτου, ὄσσαν ἀγαύρου,
ἄλλοτε δ' αὖτε λέοντος ἀναιδέα θυμὸν ἔχοντος,
ἄλλοτε δ' αὖ σκυλάκεσσιν ἐοικότα, θαύματ' ἀκοῦσαι·
ἄλλοτε δ' αὖ ῥοίζεσχ', ὑπὸ δ' ἤχεεν οὔρεα μακρά.
καί νύ κεν ἔπλετο ἔργον ἀμήχανον ἤματι κείνῳ,
καί κεν ὅγε θνητοῖσι καὶ ἀθανάτοισιν ἄναξεν,
εἰ μὴ ἄρ' ὀξὺ νόησε πατὴρ ἀνδρῶν τε θεῶν τε.
σκληρὸν δ' ἐβρόντησε καὶ ὄβριμον, ἀμφὶ δὲ γαῖα
σμερδαλέον κονάβησε καὶ οὐρανὸς εὐρὺς ὕπερθεν,
πόντος τ' Ὠκεανοῦ τε ῥοαὶ καὶ Τάρταρα γαίης,
ποσσὶ δ' ὑπ' ἀθανάτοισι μέγας πελεμίζετ' Ὄλυμπος
ὀρνυμένοιο ἄνακτος· ὑπεστενάχιζε δὲ γαῖα.
καῦμα δ' ὑπ' ἀμφοτέρων κάτεχεν ἰοειδέα πόντον
βροντῆς τε στεροπῆς τε πυρός τ' ἀπὸ τοῖο πελώρου.
πρηστήρων ἀνέμων τε κεραυνοῦ τε φλεγέθοντος.
ἔζεε δὲ χθὼν πᾶσα καὶ οὐρανὸς ἠδὲ θάλασσα·
θῦε δ' ἄρ' ἀμφ' ἀκτὰς περί τ' ἀμφί τε κύματα μακρὰ
ῥιπῇ ὑπ' ἀθανάτων, ἔνοσις δ' ἄσβεστος ὀρώρει·

λελειχμότος **Guietus. m. M. p. 184. 187. 240.** *ἐν δέ οἱ* **Herm. 828.** *κασσῶν* **(*sic*) ai. M. p. 117. 829.** *δειναῖς* **t. 830.** *παντοίαν* **t.** *ὄφ' ἱεῖσαι* **Par. 1. Dindorf. M. p. 187. 832.** *ἐριβρόχεω* **(*sic*)** *μένος ἄσχετον* **ai.** *ἐριβρύχεω μένος ἄσχετον* **t. 835.** *ῥοίζασχ'* **ait. 839.** *ὄμβριμον* **g. 843.** *ἐπεστενάχιζε* **ait. 845.** *πυρὸς ἀπὸ* **ait. (*sic*) (*τ'* inseruit Guietus sicque Cantabr. Paris. 1.) 846.** *πρηστήρων τ'* **m. (non aitg.)** *βροντῆς τε στεροπῆς τε κεραύνου τε φλεγέθοντος, πρηστήρων ἀνέμων τε πυρὸς ἀπὸ τοῖο πελώρου* **coni. M. p. 165. 847.** *ἔζεε πυρὶ χθῶν* **(*sic*)** *πᾶσα* **t. (non ai.) 848.** *ἀμφὶ κύματα* **ai.**

τρέε δ' Ἀΐδης ἐνέροισι καταφθιμένοισιν ἀνάσσων,
Τιτῆνές θ' ὑποταρτάριοι, Κρόνον ἀμφὶς ἐόντες,
ἀσβέστου κελάδοιο καὶ αἰνῆς δηϊοτῆτος.
Ζεὺς δ' ἐπεὶ οὖν κόρθυνεν ἑὸν μένος, εἵλετο δ' ὅπλα,
βροντήν τε στεροπήν τε καὶ αἰθαλόεντα κεραυνὸν,
πλῆξεν ἀπ' Οὐλύμποιο ἐπάλμενος· ἀμφὶ δὲ πάσας
ἔπρεε θεσπεσίας κεφαλὰς δεινοῖο πελώρου.
αὐτὰρ ἐπεὶ δή μιν δάμασε πληγῇσιν ἱμάσσας,
ἤριπε γυιωθεὶς, στενάχιζε δὲ γαῖα πελώρη.
φλὸξ δὲ κεραυνωθέντος ἀπέσσυτο τοῖο ἄνακτος,
οὔρεος ἐν βήσσῃσιν ἀϊδνῆς, παιπαλοέσσης,
πληγέντος· πολλὴ δὲ πελώρη καίετο γαῖα
ἀτμῇ θεσπεσίῃ καὶ ἐτήκετο, κασσίτερος ὣς
τέχνῃ ὑπ' αἰζηῶν ὑπό τ' εὐτρήτου χοάνοιο
θαλφθεὶς, ἠὲ σίδηρος, ὅπερ κρατερώτατός ἐστιν,
οὔρεος ἐν βήσσῃσι δαμαζόμενος πυρὶ κηλέῳ
τήκεται ἐν χθονὶ δίῃ ὑφ' Ἡφαίστου παλάμῃσιν·
ὣς ἄρα τήκετο γαῖα σέλᾳ πυρὸς αἰθομένοιο.
ῥῖψε δέ μιν θυμῷ ἀκαχὼν ἐς Τάρταρον εὐρύν.
Ἐκ δὲ Τυφωέος ἐστ' Ἀνέμων μένος ὑγρὸν ἀέντων
νόσφι Νότου Βορέω τε καὶ ἀργέστεω Ζεφυροῖο·
οἵ γε μὲν ἐκ θεόφιν γενεὴ, θνητοῖς μέγ' ὄνειαρ·
αἱ δ' ἄλλαι μαψαῦραι ἐπιπνείουσι θάλασσαν,
αἳ δ' ἤτοι πίπτουσαι ἐς ἠεροειδέα πόντον,
πῆμα μέγα θνητοῖσι, κακῇ θύουσιν ἀέλλῃ·
ἄλλοτε δ' ἄλλαι ἄεισι, διασκιδνᾶσί τε νῆας,
ναύτας τε φθείρουσι· κακοῦ δ' οὐ γίγνεται ἀλκὴ
ἀνδράσιν, οἳ κείνῃσι συνάντωνται κατὰ πόντον·
αἱ δ' αὖτε κατὰ γαῖαν ἀπείριτον, ἀνθεμόεσσαν,
ἔργ' ἐρατὰ φθείρουσι χαμαιγενέων ἀνθρώπων,

---

850. τρέσσε δ' ἄδης (sic) ai. τρέσσε δ' Ἀΐδης t. τρέσσ' Ἀΐδης δ' m. τρέσσ' Ἀΐδης g. M. p. 494. 851. Κρόνου ai. (non t.) 856. ἔπρεσε tg. M. p. 48. 858. στονάχιζε t. 862. ἀϋτμῇ ait. 863. τέχνῃ, ὑπ' g. 864. ἠδὲ σιδ. ai. ὅτε κρ. t. 866. ὑπ' Ἡφαίστου Graevius err. typogr. Wolf. (M. p. 117.) 867. σέλαϊ t. 868. ῥίψε aitg. ἀκάχων ait. 869. Τυφωέος ai. Τυφώεως t. 870. ἀργέσταω Ζεφύρου τε t. Ἀργέστεω Ζεφύρου τε g. (ut nos, ai. M. p. 58. 471.) 871. οἵ γέ μην (sic) a. οἵ γέ μιν i. γενεῇ ait. 872. μαψαῦραι] ait. μάψ αὖραι e Codd. g. M. p. 75. 873. αἱ δήτοι ait. 875. ἄησι ait. (ἄεισι Cramer Anecdd. 1. p. 47.)

πιμπλεῦσαι κόνιός τε καὶ ἀργαλέου κολοσυρτοῦ.
Αὐτὰρ ἐπεί ῥα πόνον μάκαρες θεοὶ ἐξετέλεσσαν,
Τιτήνεσσι δὲ τιμάων κρίναντο βίηφι,
δή ῥα τότ' ὤτρυνον βασιλευέμεν ἠδὲ ἀνάσσειν
Γαίης φραδμοσύνῃσιν Ὀλύμπιον εὐρύοπα Ζῆν'
ἀθανάτων· ὁ δὲ τοῖσιν ἐῢ διεδάσσατο τιμάς.
Ζεὺς δὲ θεῶν βασιλεὺς πρώτην ἄλοχον θέτο Μῆτιν,
πλεῖστα θεῶν εἰδυῖαν ἰδὲ θνητῶν ἀνθρώπων.
ἀλλ' ὅτε δή ῥ' ἤμελλε θεὰν γλαυκῶπιν Ἀθήνην
τέξεσθαι, τότ' ἔπειτα δόλῳ φρένας ἐξαπατήσας
αἱμυλίοισι λόγοισιν ἑὴν ἐγκάτθετο νηδὺν
Γαίης φραδμοσύνῃσι καὶ Οὐρανοῦ ἀστερόεντος.
τὼς γάρ οἱ φρασάτην, ἵνα μὴ βασιληΐδα τιμὴν
ἄλλος ἔχῃ Διὸς ἀντὶ θεῶν αἰειγενετάων.
ἐκ γὰρ τῆς εἵμαρτο περίφρονα τέκνα γενέσθαι·
πρώτην γὰρ κούρην γλαυκώπιδα Τριτογένειαν
ἶσον ἔχουσαν πατρὶ μένος καὶ ἐπίφρονα βουλήν,
αὐτὰρ ἔπειτ' ἄρα παῖδα θεῶν βασιλῆα καὶ ἀνδρῶν
ἤμελλεν τέξεσθαι, ὑπέρβιον ἦτορ ἔχοντα·
ἀλλ' ἄρα μιν Ζεὺς πρόσθεν ἑὴν ἐγκάτθετο νηδύν,
ὡς δή οἱ φράσσαιτο θεὰ ἀγαθόν τε κακόν τε.
Δεύτερον ἠγάγετο λιπαρὴν Θέμιν, ἣ τέκεν Ὥρας,
Εὐνομίην τε Δίκην τε καὶ Εἰρήνην τεθαλυῖαν,
αἵτ' ἔργ' ὠρεύουσι καταθνητοῖσι βροτοῖσιν·
Μοίρας θ', ᾗς πλείστην τιμὴν πόρε μητίετα Ζεύς,
Κλωθώ τε Λάχεσίν τε καὶ Ἄτροπον, αἵ τε διδοῦσιν
θνητοῖς ἀνθρώποισιν ἔχειν ἀγαθόν τε κακόν τε.
Τρεῖς δέ οἱ Εὐρυνόμη Χάριτας τέκε καλλιπαρήους,
Ὠκεανοῦ κούρη, πολυήρατον εἶδος ἔχουσα,
Ἀγλαΐην τε καὶ Εὐφροσύνην Θαλίην τ' ἐρατεινήν·

---

876. *γίνεται* ait. 877. *κείνοισι* ait. *συναντῶτες* (sic) ai. *συναντῶσιν* t. 878. *αἱ δ' αὖτε κατὰ*] ai. M. p. 48. *αἱ δ' αὖ καὶ* tg. 880. *πιμπλῆσαι* ai. 883. *ἠδ' ἀνάσσειν* ait. 884. *Ὀλύμπιον αἰεὶ Ζῆνα* t. 885. *εὖ* ait. 887. *καὶ θν.* ai. (non t.) 889. *τέξασθαι* ai. *τεύξασθαι* t. *δολοφρένας* ai 890. *ἐσκάτθετο* ait. (non v. 899.) 892. *ἐφρασάτην* t. Wolf. 895. *πρώτην μὲν γὰρ* ait. *πρώτην μὲν* Bas. 1544. Heyne. g. 898. *τεύξασθαι* t. (Ut nos, ai.) 900. *φράσσατο* t. (non ai.) *ὥς οἱ συμφράσσαιτο* Galenus prob. Herm. 903. *ὡραίουσι* ait. *κατὰ θνητοῖσι* ait. 905. *δίδουσι* ai. 909. *Ἀγλαΐην καὶ* ait.

τῶν καὶ ἀπὸ βλεφάρων ἔρος εἴβετο δερκομενάων
λυσιμελής· καλὸν δέ θ' ὑπ' ὀφρύσι δερκιόωνται.
Αὐτὰρ ὁ Δήμητρος πολυφόρβης ἐς λέχος ἦλθεν·
ἣ τέκε Περσεφόνην λευκώλενον, ἣν Ἀϊδωνεὺς
ἥρπασεν ἧς παρὰ μητρός· ἔδωκε δὲ μητίετα Ζεύς.
Μνημοσύνης δ' ἐξαῦτις ἐράσσατο καλλικόμοιο,
ἐξ ἧς οἱ Μοῦσαι χρυσάμπυκες ἐξεγένοντο
ἐννέα, τῇσι ἅδον θαλίαι καὶ τέρψις ἀοιδῆς.
Λητὼ δ' Ἀπόλλωνα καὶ Ἄρτεμιν ἰοχέαιραν,
ἱμερόεντα γόνον περὶ πάντων Οὐρανιώνων,
γείνατ' ἄρ' αἰγιόχοιο Διὸς φιλότητι μιγεῖσα.
Λοισθοτάτην δ' Ἥρην θαλερὴν ποιήσατ' ἄκοιτιν.
ἡ δ' Ἥβην καὶ Ἄρηα καὶ Εἰλείθυιαν ἔτικτεν,
μιχθεῖσ' ἐν φιλότητι θεῶν βασιλῆϊ καὶ ἀνδρῶν·
αὐτὸς δ' ἐκ κεφαλῆς γλαυκώπιδα γείνατ' Ἀθήνην,
δεινὴν, ἐγρεκύδοιμον, ἀγέστρατον, ἀτρυτώνην,
πότνιαν, ᾗ κέλαδοί τε ἅδον πόλεμοί τε μάχαι τε.
Ἥρη δ' Ἥφαιστον κλυτὸν οὐ φιλότητι μιγεῖσα
γείνατο, καὶ ζαμένησε καὶ ἤρισεν ᾧ παρακοίτῃ,

---

910. *εἴβεται* **ai. (non t.) 916.** *αἱ Μοῦσαι* **ait. (***οἱ* **Dindorf. g. ex Paris.) 917.** *τῇσιν ἅδον* **(***sic***) ait. 922.** *Ἥβην Ἄρηα* **ai. (non t.) 924.** *γλ. γείνατ' Ἀθήνην***] Medic. Galenus.** *γλ. Τριτογένειαν* **aitg. M. p. 211. 925.** *ἀγροκύδοιμον* **ai. (non t.) 926.** *ἅδον* **ait. 927.** *ἐν φιλότητι* **ait. Emendatum est e Cod. Regio. 928. M. p. 87. Chrysippus apud Galenum de Hippocr. et Platon. Dogm. 3. p. 273. hos habet versus ex antiquo poëta Hesiodeo:**

Ἐκ ταύτης ἔριδος ἡ μὲν τέκε φαίδιμον υἱὸν,
Ἥφαιστον τέχνῃσιν, ἄνευ Διὸς αἰγιόχοιο,
ἐκ πάντων παλάμῃσι κεκασμένον Οὐρανιώνων.
αὐτὰρ ὅγ' Ὠκεανοῦ καὶ Τηθύος ἠϋκόμοιο
κούρῃ νόσφ' Ἥρης παρελέξατο καλλιπαρήῳ,
ἐξαπατῶν Μῆτιν, καίπερ πολὺ ἀννεύουσαν.
συμμάρψας δ' ὅγε χερσὶν ἑὴν ἐγκάτθετο νηδὺν,
δείσας, μὴ τέξῃ κρατερώτερον ἄλλο κεραυνοῦ.
τ.ὔνεκά μιν Κρονίδης ὑψίζυγος αἰθέρι ναίων
κάππιεν ἐξαπίνης· ἡ δ' αὐτίκα Παλλάδ' Ἀθήνην
κύσατο· τὴν μὲν ἔτικτε πατὴρ ἀνδρῶν τε θεῶν τε
πὰρ κορυφῆς, Τρίτωνος ἐπ' ὄχθῃσι ποταμοῖο.
Μῆτις δ' αὖτε Ζηνὸς ὑπὸ σπλάγχνοις λελαθυῖα
ἧστο, Ἀθηναίῃ μήτηρ τέκταινά τε δηνέων,
πλεῖστα θεῶν εἰδυῖα καταθνητῶν τ' ἀνθρώπων.
ἔνθα θεῷ παρέλεκτο θεά, παλάμαις περὶ πάντων

ἐκ πάντων τέχνῃσι κεκασμένον Οὐρανιώνων.
Ἐκ δ' Ἀμφιτρίτης καὶ ἐρικτύπου Ἐννοσιγαίου
Τρίτων εὐρυβίης γένετο μέγας, ὅστε θαλάσσης
πυθμέν' ἔχων παρὰ μητρὶ φίλῃ καὶ πατρὶ ἄνακτι
ναίει χρυσέα δῶ, δεινὸς θεός. Αὐτὰρ Ἄρηϊ
ῥινοτόρῳ Κυθέρεια Φόβον καὶ Δεῖμον ἔτικτεν
δεινούς, οἵτ' ἀνδρῶν πυκινὰς κλονέουσι φάλαγγας
ἐν πολέμῳ κρυόεντι σὺν Ἄρηϊ πτολιπόρθῳ·
Ἁρμονίην θ', ἣν Κάδμος ὑπέρθυμος θέτ' ἄκοιτιν.
Ζηνὶ δ' ἄρ' Ἀτλαντὶς Μαίη τέκε κύδιμον Ἑρμῆν,
κήρυκ' ἀθανάτων, ἱερὸν λέχος εἰσαναβᾶσα.
Καδμείη δ' ἄρα οἱ Σεμέλη τέκε φαίδιμον υἱὸν
μιχθεῖσ' ἐν φιλότητι Διώνυσον πολυγηθέα,
ἀθάνατον θνητή· νῦν δ' ἀμφότεροι θεοί εἰσιν.
Ἀλκμήνη δ' ἄρ' ἔτικτε βίην Ἡρακληείην,
μιχθεῖσ' ἐν φιλότητι Διὸς νεφεληγερέταο.
Ἀγλαΐην δ' Ἥφαιστος ἀγακλυτὸς ἀμφιγυήεις
ὁπλοτάτην Χαρίτων θαλερὴν ποιήσατ' ἄκοιτιν.
χρυσοκόμης δὲ Διώνυσος ξανθὴν Ἀριάδνην,
κούρην Μίνωος, θαλερὴν ποιήσατ' ἄκοιτιν.
τὴν δέ οἱ ἀθάνατον καὶ ἀγήρω θῆκε Κρονίων.
Ἥβην δ' Ἀλκμήνης καλλισφύρου ἄλκιμος υἱός,
ἲς Ἡρακλῆος, τελέσας στονόεντας ἀέθλους,
παῖδα Διὸς μεγάλοιο καὶ Ἥρης χρυσοπεδίλου,
αἰδοίην θέτ' ἄκοιτιν ἐν Οὐλύμπῳ νιφόεντι·

ἀθανάτων τ' ἐκέκαστ', οἳ Ὀλύμπια δώματ' ἔχουσιν,
αἰγίδα ποιήσασα, φοβέστρατον ἔντος Ἀθήνῃ,
σὺν τῇ ἐγείνατό μιν, πολεμήϊα τεύχε' ἔχουσαν.

3. Sic Ruhnk. *κεκλημένος* **Gal. 5. Sic Ruhnk.** *κούρην — παρεδέξατο καλλιπαρῄου* **Gal.** *κούρην — παρεδέξατο καλλιπάρῃον* **Goettl. 6.** *ἀννεύουσαν*] **Orelli.** *δινεύουσαν* **Gal.** *πολυίδριν ἔουσαν* **Ruhnk. 12.** *κορυφῆς*] **Goettl.** *κορυφὴν* **Gal. 14.** *Ἀθηναίῃ*] **Goettl.** *Ἀθηναίη* **Gal.** *τέκταινα τε δηνέων*] **an potius** *τ. τε τευχέων*? **Or.** *τέκτηνα δικαίων* **Gal.** *τέκταινα δικαίων* **Goettl. 16.** *θεῷ παρέλεκτο θεά*] **Orelli.** *θεὰ παρέλεκτο Θέμις* **Gal. Sed nunc malim:** *ἔνθα θεᾷ παρέλεκτο θέμις*, **id est, „ibi, in Iovis visceribus, ad latus deae (Metidis) accumbebat iusfasque supremum.“** *θεὰ παρέλεχθ' ἣ μὲν* **Goettl.** *θεὰ παρέδεκτο· ὅθεν παλάμαις* **Herm. 17.** *ἀθανάτων τ'*] **Or.** *ἀθανάτων* **Gal.** *ἐκέκαστ' οἳ Ὀλ.*] **Ruhnk.** *ἐκέκαστο Ὀλ.* **Gal.** *ἐκέκαστο Ὀλ. δωμ. ἔχοντας* **Herm. 18.** *ἔντος*] **Goettl.** *ἐντὸς* **Gal.** *Ἀθήνῃ*] **Ruhnk.** *Ἀθήνη* **Gal.**

938. *φαίδιμον Ἑρμῆν* **t. (non ai.) M. p. 58. 941.** *Διόνυσσον* **ai.** *Διόνυσον* **t. 946.** *θαλερή* **at. (non i.) 947.** *Διόγυσσος* **ai.** *Διόνυσος* **t. 949.** *Κρονίδης* **t. (non ai.) 953.** *Ὀλύμπῳ* **ait.**

ὄλβιος, ὃς μέγα ἔργον ἐν ἀθανάτοισιν ἀνύσσας
ναίει ἀπήμαντος καὶ ἀγήραος ἤματα πάντα.
Ἠελίῳ δ' ἀκάμαντι τέκε κλυτὸς Ὠκεανίνη
Περσηΐς Κίρκην τε καὶ Αἰήτην βασιλῆα.
Αἰήτης δ' υἱὸς φαεσιμβρότου Ἠελίοιο
κούρην Ὠκεανοῖο τελήεντος ποταμοῖο
γῆμε θεῶν βουλῆσιν Ἰδυῖαν καλλιπάρῃον.
ἡ δέ νύ οἱ Μήδειαν ἐΰσφυρον ἐν φιλότητι
γείναθ' ὑποδμηθεῖσα διὰ χρυσέην Ἀφροδίτην.
Ὑμεῖς μὲν νῦν χαίρετ', Ὀλύμπια δώματ' ἔχοντες
νῆσοί τ' ἤπειροί τε καὶ ἁλμυρὸς ἔνδοθι πόντος.
νῦν δὲ θεάων φῦλον ἀείσατε, ἡδυέπειαι
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο,
ὅσσαι δὴ θνητοῖσι παρ' ἀνδράσιν εὐνηθεῖσαι
ἀθάναται γείναντο θεοῖς ἐπιείκελα τέκνα.
Δημήτηρ μὲν Πλοῦτον ἐγείνατο, δῖα θεάων,
Ἰασίῳ ἥρωϊ μιγεῖσ' ἐρατῇ φιλότητι
νειῷ ἔνι τριπόλῳ Κρήτης ἐν πίονι δήμῳ,
ἐσθλὸν, ὃς εἶσ' ἐπὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης,
πᾶσιν· τῷ δὲ τυχόντι καὶ οὗ κ' ἐς χεῖρας ἵκηται,
τὸν δ' ἀφνειὸν ἔθηκε πολύν τέ οἱ ὤπασεν ὄλβον.
Κάδμῳ δ' Ἁρμονίη, θυγάτηρ χρυσέης Ἀφροδίτης,
Ἰνὼ καὶ Σεμέλην καὶ Ἀγαυὴν καλλιπάρῃον
Αὐτονόην θ', ἣν γῆμεν Ἀρισταῖος βαθυχαίτης,
γείνατο καὶ Πολύδωρον ἐϋστεφάνῳ ἐνὶ Θήβῃ.
[Κούρη δ' Ὠκεανοῦ Χρυσάορι καρτεροθύμῳ
μιχθεῖσ' ἐν φιλότητι πολυχρύσου Ἀφροδίτης,
Καλλιρόη τέκε παῖδα βροτῶν κάρτιστον ἁπάντων,
Γηρυονέα, τὸν κτεῖνε βίη Ἡρακληείη,
βοῶν ἕνεκ' εἰλιπόδων ἀμφιῤῥύτῳ εἰν Ἐρυθείῃ.]

---

954. ἀνύσας ai. ἀθανατοῖσιν (sic) τελέσας (sic) t. 956. κλυτὴ ai. κλητὸς (sic) t. 960. Εἰδυῖαν ai. (non t.) M. p. 229. 961. ἡ δέ οἱ ai. (non t.) 962. χρυσῆν ait. 964. ἁλμυροὶ (sic) ai. (non t.) Hunc v. post v. 843. ponendum censet Hermannus. 968. γείνοντο ai. (non t.) 969. ἐγείνοντο t. 972. γῆν καὶ ai. (non t.) 973. πᾶσιν] Herm. πᾶσαν aitg. καὶ οὐκ ai. (non t.) 974. τόνδ' tg. (non ai.) πολὺν δέ οἱ Medic. pr. M. p. 211. 975. χρυσῆς ait. 979. Ὠκεανοῖο ait. 980. πολυχρύσῳ Ἀφροδίτῃ ai. (non t.) 981. κάλλιστον ai. (non t.) M. p. 48. 982. Γηρϋονῆα ai. (non t.) Ἡρακλεείη ai. Γηρυονῆ Herm. 983. ἀμφιῤῥύτῳ εὐρυ-

Τιθωνῷ δ' Ἠὼς τέκε Μέμνονα χαλκοκορυστὴν,
Αἰθιόπων βασιλῆα, καὶ Ἠμαθίωνα ἄνακτα.
αὐτάρ τοι Κεφάλῳ φιτύσατο φαίδιμον υἱὸν,
ἴφθιμον Φαέθοντα, θεοῖς ἐπιείκελον ἄνδρα.
τόν ῥα νέον, τέρεν ἄνθος ἔχοντ' ἐρικυδέος ἥβης,
παῖδ' ἀταλὰ φρονέοντα φιλομμειδὴς Ἀφροδίτη
ὦρτ' ἀνερειψαμένη, καί μιν ζαθέοις ἐνὶ νηοῖς
νηοπόλον νύχιον ποιήσατο, δαίμονα δῖον.
Κούρην δ' Αἰήταο διοτρεφέος βασιλῆος
Αἰσονίδης βουλῇσι θεῶν αἰειγενετάων
ἦγε παρ' Αἰήτεω, τελέσας στονόεντας ἀέθλους,
τοὺς πολλοὺς ἐπέτελλε μέγας βασιλεὺς ὑπερήνωρ,
ὑβριστὴς Πελίης καὶ ἀτάσθαλος, ὀβριμοεργός.
τοὺς τελέσας ἐς Ἰωλκὸν ἀφίκετο, πολλὰ μογήσας,
ὠκείης ἐπὶ νηὸς ἄγων ἑλικώπιδα κούρην,
Αἰσονίδης, καί μιν θαλερὴν ποιήσατ' ἄκοιτιν.
καί ῥ' ἥγε δμηθεῖσ' ὑπ' Ἰήσονι ποιμένι λαῶν
Μήδειον τέκε παῖδα, τὸν οὔρεσιν ἔτρεφε Χείρων
Φιλυρίδης· μεγάλου δὲ Διὸς νόος ἐξετελεῖτο.
Αὐτὰρ Νηρῆος κοῦραι ἁλίοιο γέροντος,
ἤτοι μὲν Φῶκον Ψαμάθη τέκε, δῖα θεάων,
Αἰακοῦ ἐν φιλότητι διὰ χρυσέην Ἀφροδίτην·
Πηλέϊ δὲ δμηθεῖσα θεὰ Θέτις ἀργυρόπεζα
γείνατ' Ἀχιλλῆα ῥηξήνορα, θυμολέοντα.
Αἰνείαν δ' ἄρ' ἔτικτεν ἐϋστέφανος Κυθέρεια,
Ἀγχίσῃ ἥρωϊ μιγεῖσ' ἐρατῇ φιλότητι,
Ἴδης ἐν κορυφῇσι πολυπτύχου, ὑληέσσης.
Κίρκη δ', Ἠελίου θυγάτηρ Ὑπεριονίδαο,
γείνατ' Ὀδυσσῆος ταλασίφρονος ἐν φιλότητι
Ἄγριον ἠδὲ Λατῖνον ἀμύμονά τε κρατερόν τε·
Τηλέγονόν τε ἔτικτε διὰ χρυσέην Ἀφροδίτην.

θείη (sic) ai. (non t.) 986. φυτήσατο ait. 989. ἀπαλὰ ai. (non t.) φιλομειδὴς ait. 990. ἀναῤῥειψαμένη ai. (non t.) 991. μύχιον Aristarchus. P. 2. M. p. 205. 994. Αἰήτου ai. Αἰήταο t. 996. ὀμβριμοεργός g. 997. τελέσας Ἰωλκὸν i. (non at.) 1002. Φιλλυρίδης ait. 1003. Νηρηΐδες ai. (non t.) 1005. χρυσῆν ait. 1006. Πηλεῖ ait. 1010. ἠνεμοέσσης Medic. 1011. Ὑπερινορίδαο (sic) t. 1013. De lectione Γραῖκόν τ' ἠδὲ Λατῖνον vide Herm. p. 192. Ἄδριον Clericus. M. p. 104. 1014. Abest hic v. ab ai. Habet t. δ' ἔκτιτε (sic) t. χρυσῆν t. M. p. 71. 176.

οἱ δ' ἤτοι μάλα τῆλε μυχῷ νήσων ἱεράων
πᾶσιν Τυρσηνοῖσιν ἀγακλειτοῖσιν ἄνασσον.
Ναυσίθοον δ' Ὀδυσῆϊ Καλυψώ, δῖα θεάων,
γείνατο Ναυσίνοόν τε μιγεῖσ' ἐρατῇ φιλότητι.
Αὗται μὲν θνητοῖσι παρ' ἀνδράσιν εὐνηθεῖσαι
ἀθάναται γείναντο θεοῖς ἐπιείκελα τέκνα.
Νῦν δὲ γυναικῶν φῦλον ἀείσατε, ἡδυέπειαι
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο.

1015. *δή τοι* ait. *μυχῶν νήσων* ait. 1016. *ἀγακλυτοῖσιν* ait. 1018. *γρ. Λυσίνοόν τε* M. p. 243. 1020. *γείνατό* ait. M. p. 215. 241.

ANALECTA.

Sero nactus sum: *Quaestionum Hesiodiarum Specimen. Die 11. M. Septembris a. MDCCCXXX. publice defendet Meyer Isler. Berolini* 8. pagg. 51.

„Hesiod. Theog. 513. pro *Διὸς πλαστήν* scribendum est *Διοσπλάστην.*“ — v. 890. praefert *λόγοισι ἐήν* cum Paris., propter digamma. — v. 922. *Ἄρην* item cum Paris. — In versibus Pseudohesiodeis apud Galenum Ed. meae p. 32. proponit: *Ἥφαιστον Παλαμάον' ἄνευ Διὸς αἰγιόχοιο, Ἐκ πάντων τέχνῃσι κεκασμένον Οὐρανιώνων.* „*Παλαμάονα* esse cognomen Hephaesti probat Pausan. 9, 3, 2., qui Daedalum Palamaonis filium dicit.“

INDEX LECTIONUM
IN
UNIVERSITATE TURICENSI
INDE
A DIE XXVI. MENSIS OCTOBRIS M. DCCC. XXXVI.
USQUE
AD DIEM XX. MENSIS MARTII M. DCCC. XXXVII.
HABENDARUM.

I. ORDINIS THEOLOGORUM.

1. *Professorum ordinariorum:*

F. Hitzig, Dr. Theol., p. t. Ordinis Decanus.

1) Archaeologiae biblicae partem alteram, id est, antiquitates, quae proprie dicuntur, binis horis tradet.

2) Librum Iobi quaternis horis:

3) Librum Danielis cum introductione in Aramaismum biblicum binis horis:

4) Acta Apostolorum quaternis horis interpretabitur.

5) In docenda lingua Arabica perget, Corani atque Hamasae locos selectos explicaturus.

Elwert.

Suas praelectiones postmodum annuntiabit.

2. *Professorum extraordinariorum:*

Io. Schulthess, Dr. Theol.

Suas praelectiones typis excusas cum volentibus communicabit.

L. Hirzel, Dr. Theol.

1) Pauli alteram ad Corinthios Epistolam binis horis explicabit.

2) Symbolicen ternis horis tradet.

A. Schweizer.

1) Evangelium Matthaei quaternis horis interpretabitur.

2) Homileticen docebit quaternis horis, adiunctis binis, quibus exercitationes practicas instituet.

3. *Privatim docentium:*

I. C. Usteri, Parochus.

1) Utramque Pauli ad Corinthios Epistolam ternis horis explicabit.

2) Vitas aque doctrinas patrum Ecclesiae, in primis Irenaei, Tertulliani, Cypriani illustrabit.

M. Ulrich, V. D. M.

Pauli Epistolas ad Galatas et ad Thessalonicenses ternis horis interpretabitur.

II. ORDINIS IURECONSULTORUM.

1. *Professorum ordinariorum:*

L. de Loew, Dr., p. t. Academiae Rector.

1) Historiam constitutionis imperii Germanici et iuris Germanici, ratione habita libri sui, qui inscribitur: *Geschichte der deutschen Reichs- und Territorialverfassung, Heidelberg* 1832, quaternis horis tradet.

2) Ius ecclesiasticum ternis vel quaternis horis docebit.

3) Locos iuris Germanici privati, qui maximi in Helvetia Germanica momenti sunt, quaternis horis explicabit.

4) Taciti Germaniam binis horis interpretabitur.

G. Sell, Dr., p. t. Decanus.

Pandectas, usurus libro, qui inscribitur: *Wening Ingenheim's Lehrbuch des gemeinen Civilrechts, vierte Ausgabe*, duodenis horis tradet.

2. *Professorum extraordinariorum:*

F. L. Keller, Dr.

1) De rebus pecuniariis maioris momenti, nominatim de litteris, quas dicunt, cambialibus atque syngraphis et hypothecis ex Turicensium iure particulari, ratione habita ceterarum Helvetiae legum, quaternis horis disseret.

2) Ciceronis scripta, Orellii Editione usurus, inde a Libris de Oratore ex antiquitatibus iuris publici atque privati ternis horis illustrabit.

H. Escher, Senator Turicensis.

1) Ius publicum ac gentium quaternis horis tradet.

2) De obligationibus ex pactis conventis orientibus, in primis de pacto emptionis ex Francogallorum Codice civili binis horis disseret.

I. C. BLUNTSCHLI, Dr.

1) Historiam atque institutiones iuris Romani octonis horis:

2) Historiam civitatis iurisque Turicensis, habita ratione institutorum Germanicorum binis horis tradet.

I. B. SARTORIUS, Dr.

1) Encyclopaediam et methodologiam iuris prudentiae binis horis:

2) Doctrinam civilem philosophicam, ratione semper habita institutorum civilium, in primis Helveticorum, quaternis horis:

3) Ius matrimonii canonicum binis horis tradet.

4) Processum civilem communem, Lindii compendio usurus, quinis horis illustrabit.

GEIB, Dr.

1) Historiam iuris criminalis singulis per hebdomadem horis publice tradet.

2) Ius criminale Germanicum et Francogallicum, usurus libro, qui inscribitur: *Feuerbachs Lehrbuch des peinlichen Rechts, zwölfte Ausgabe. Heidelberg* 1836, senis horis illustrabit.

3. *Privatim docentium:*

IOS. SCHAUBERG, Dr.

1) Ius privatum philosophicum sive ius naturae quinis horis:

2) Ius puniendi Germanicum commune, Feuerbachii compendio usurus, adiuncto iure puniendi pagi Turicensis senis horis:

3) Processum criminalem Germanicum ac Turicensem communem quinis horis tradet.

III. ORDINIS MEDICORUM.

1. *Professorum ordinariorum:*

C. F. DE POMMER, Dr., p. t. Decanus.

1) Physiologiam universalem et specialem, adiuncto Examinatorio senis horis:

2) Pathologiam et therapiam universalem adiunctis examinibus senis item horis docebit.

I. L. SCHŒNLEIN, Dr.

1) Pathologiam et therapiam specialem senis horis tradet.

2) Clinicen medicam senis horis moderabitur.

Fr. Arnold, Dr.

1) **Anatomiam specialem** senis horis:

2) **Physiologiam specialem cum foetus anatomia**, suo Physiologiae compendio usurus, senis item horis docebit.

3) **Examinatorium** de anatomia et physiologia singulis per hebdomadem horis instituet.

4) **Corpora humana dissecandi artem** quotidie demonstrabit.

2. *Professorum extraordinariorum:*

H. Locher-Zwingli, Dr.

1) **Chirurgiam theoreticam ac practicam** quaternis horis docebit.

2) **Artem volnera ligandi** binis horis demonstrabit.

3) **Clinicen chirurgicam** senis horis moderabitur.

I. C. Spœndli, Dr.

1) **Artem obstetriciam** ternis horis docebit.

2) **Exercitationes in phantomate** binis horis instituet.

3) **Clinicen obstetriciam** moderabitur.

I. Locher-Balber, Dr.

1) **Semioticen**, adiuncta arte aegrotos interrogandi, ternis horis:

2) Partem priorem **doctrinae de medicamentis**, addita arte formulas medicas recte concipiendi, quaternis horis tradet.

3) **Clinicam ambulatoriam** ternis horis moderabitur.

Guil. Arnold, Dr.

1) **Introductionem in medicinam eiusque litteraturam** suo Hodegetices Compendio (Heidelbergae, Gross, 1832) usurus tradet.

2) **Pharmacologiam**, suo medicamentorum *συλλογῇ* usurus, quinis horis docebit.

3) **Casuisticam**, quam dicunt, **medicam**, qua auditores in Clinicen introducantur, singulis per hebdomadem horis instituet.

3. *Privatim docentium:*

M. Hodes, Dr., Prosector.

1) **Anatomiam chirurgicam** quaternis horis docebit.

2) **Corpora humann dissecandi artem** quotidie demonstrabit.

I. Finsler, Dr.

Pharmacognosia quaternin horis docebit.

C. Meyer, Dr.

Artem volnera ligandi ternis horis demonstrabit.

L. de Muralt.

Cursum operationum in oculis faciendarum binis horis instituet.

Giesker, Dr.

1) Chirurgiam universalem ternis horis:

2) Chirurgiam specialem quaternis horis tradet.

3) Examinatoria atque repetitoria in variis medicinae partibus instituet.

IV. ORDINIS PHILOSOPHORUM.

1. *Professorum ordinariorum:*

L. Oken, Dr. Med. et Phil.

1) Historiam naturalem senis horis:

2) Philosophiam naturalem itidem senis horis tradet.

E. Bobrik, Dr.

1) Logicen quaternis horis:

2) Psychologiam quaternis horis:

3) Paedagogicen quaternis horis:

4) Historiae philosophiae partem alteram inde a media aetate usque ad nostra tempora senis horis tradet.

Th. Mittler, Dr.

1) Historiae universalis partem priorem, id est, historiam antiquitatis atque initiorum mediae aetatis quaternis horis tradet:

2) Repetitorium harum praelectionum singulis per hebdomadem horis instituet.

2. *Professorum extraordinariorum:*

I. G. Baiter, Dr., p. t. Decanus.

1) Demosthenis orationem de corona ternis horis interpretabitur.

2) Repetitorium harum lectionnm binis horis privatissime instituet.

I. C. Orelli, Dr.

1) Mythologiam Graecam, explicaturus simul Hesiodi Theogoniam atque Apollodori Bibliothecam ternis horis tradet.

2) Celsi Medicinam binis horis interpretabitur.

I. Hottinger, Dr.

1) Historiam Helveticam inde a pace Westphalica usque ad finem seculi octavi decimi ternis horis tradet.

2) Litteraturam historicae Helveticae, ratione maxime habita librorum post Halleri Bibliothecam editorum binis horis illustrabit.

C. Löwig, Dr.

1) Chemiam organicam experimentalem ternis horis:

2) Chemiam pharmaceuticam ternis itidem horis docebit.

3) Examinatorium de chemia pharmaceutica singulis per hebdomadem horis instituet.

R. Schinz, Dr.

1) Zoologiam animalium vertebratorum quaternis horis:

2) Anthropologiam item quaternis horis docebit.

O. Heer, Dr.

1) Botanicen universalem quaternis horis:

2) Historiam naturalem scarabaeorum ternis horis tradet.

3. *Privatim docentium:*

I. L. Raabe, Prof. Gymnasii.

Calculum differentialem atque integralem quaternis horis docebit.

L. Ettmüller, Dr., Prof. Gymnasii.

1) Historiam dramatis Germanici ternis horis tradet.

2) Nibelungiadem quaternis horis:

3) Göthii Faustum cum introductione historica in fabulam Faustianam binis horis interpretabitur.

A. G. Winckelmann, Dr., Prof. Gymn.

1) Syntaxin linguae Graecae binis horis tradet.

2) Sophoclis Oedipum in Colono binis horis interpretabitur.

B. Hirzel, Dr., Ephorus stipendiatorum.

1) Grammaticam linguae Sanscritiae, locis postea ex Boppii Episodiis Mahabharatae explicandis binis horis tradet.

2) Meghadutam ex Willsonii editione ternis horis interpretabitur.

3) Grammaticam linguae Gothicae, locis postea ex Zeunii Chrestomathia explicandis, binis horis tradet.

4) Comparationem inter verbum Gothicum et verbum linguarum cognatarum instituet.

K. W. Hardmeyer.

Historiam litterarum Germanicarum inde a Klopstockio usque ad nostra tempora enarrabit.

A. Mousson, Prof. Gymnasii.

Physicen universalem aut doctrinam de calore, optione audituris data, binis vel ternis horis tradet.

S. Vögelin, V. D. M.

1) Aeschyli Persas binis horis:

2) Sophoclis Philoctetam binis horis:

3) Platonis Phaedrum binis horis interpretabitur.

A. Escher von der Linth.

Geognosin horis postea constituendis docebit.

F. de Ehrenberg.

1) Artem vias muniendi, pontes et aquae ductus construendi binis horis tradet.

2) Architecturam et urbibus et ruri convenientem binis item horis docebit.

F. Gidoni.

Cursum historiae recentioris inde ab initio regni Caroli quinti usque ad annum 1789 ternis horis instituet.

I. Eschmann.

Astronomiam theoreticam ternis horis docebit.

H. Vögelin.

Historiam Romanam inde a bello Punico primo usque ad pugnam Actiacam, additis per compendium temporibus Imperatorum usque ad Constantinum Magnum ternis horis enarrabit.

A. Granier.

Cursum historiae immutationis rerum Francogallicarum ternis horis instituet.

Francogallicae linguae scholas offert I. ZIMMERMANN, Italicae et Hispanicae F. GIDONI, Anglicae FRÖBEL iunior et HEGNER. Artes docebunt: Arma tractandi I. G. LUDWIG et CAVALLINI; Equitandi C. SCHNABEL et I. C. OST; Delineandi C. A. MÜLLER. Musicas artes discendi ampla est opportunitas.

PUBLICA DOCTRINAE SUBSIDIA.

Instituto medico-clinico praeest P. SCHÖNLEIN; chirurgico-clinico P. LOCHER-ZWINGLI; maiocomio P. SPÖNDLI; clinico ambulatorio P. LOCHER-BALBER; museo anatomico P. ARNOLD. Praesto est apparatus instrumentorum ad physicam et mineralogiam pertinentium et museum zoologicum, neque deest hortus botanicus. Seminarii philologico-paedagogici exercitationes moderabitur Dr. WINCKELMANN.

Bibliotheca civium Turicensium diebus Lunae et Iovis mane, Mercurii et Saturni post meridiem; Bibliotheca naturae scrutatorum diebus Lunae et Veneris h. IV—V; bibliotheca societatis medicorum diebus Martis h. XI—XII et Saturni h. II—IV; bibliotheca societatis iureconsultorum diebus Martis et Veneris h. I—II publicis usibus ita patebunt, uti singularum leges atque instituta concedunt.



